2) Eiusdem saeculi duo libri, qui ad nos pervenerunt, miro modo cum hoc Albini libro consentiunt: Apulei liber 'de dogmate Platonis' (cf. Sinko, de Apulei et Albini doctrinae Platonicae adumbratione Crac. 1905 p. 42/3) et commentarius quidam anonymus ad Platonis Theaetetum scriptus (cf. Diels, Anonymer Kommentar zu Platons Theaetet, Berlin 1905). Et Sinko, qui Apuleium consentire cum Albino probavit hac necessitudine iam a G. Krollio reperta, et Dielsius, qui necessitudinem inter Albinum et commentarium anonymum intercedentem ostendit, demonstrare studuerunt tres hos auctores ex eodem fonte, ex Gai scholis de Platonis doctrina scriptis hausisse. Sed quamquam tres illos libros ex communi fonte fluxisse constat, attamen an ad Gaium recedant in dubium vocavit Immisch (D. L. Z. 1906 n. 15 p. 915).

sententiis ac Plotinus magister utitur (i. e. Plotini libros quasi excerpsit), Proclus autem propria adhibens vocabula et enuntiata non epitomam sed introductionem tantum composuit.

Iam vero quoniam rationem ac consilium *ἀφορμῶν* perspeximus et librum cum ceteris eiusdem generis scriptis contulimus, nunc diiudicemus, quo nomine hic liber aptissime sit nominandus, utrum *ὑπομνήματα* an *κεφάλαια* an *ἐπιχειρήματα*; quam ad quaestionem dissolvendam nos quaerere oportet, quid haec vocabula significent illo ipso loco (Plot. vita c. XXVI).

Primum quid sint *ὑπομνήματα*, facile cognoscitur et ex Porphyrii ipsius verbis apparet: sunt adnotationes et commentarii, quos Porphyrius discipulis instantibus ad obscuriores Plotini locos illustrandos scripsit. Prorsus non necesse esse caput XL haustum esse ex *ὑπομνήμασιν* supra demonstravi; longiora autem illa capita XXXII—XLIV, quae Richter *ὑπομνήμασιν* attribuit, si inspexerimus, facile nobis persuadebimus, in commentariis non esse numeranda, cum haec capita, velut XXXII, XL etc., quae ex Plotini libris sunt excerpta, eisdem vocabulis et sententiis Plotini textum reddant, commentariorum autem sit, obscuriores locos non iisdem sed amplioribus sententiis explicare.

Deinde etsi Creuzerum l. c. haud ita falso iudicasse concedo *ἐπιχειρήματα* idem fere significare posse atque *ἀφορμάς*, tamen examinare nos oportet, quid sint et *κεφάλαια* et *ἐπιχειρήματα* in illo ipso capite XXVI commemorata. Dicit Porphyrius se ad omnes Enneadum libros praeter eum, qui sit de Pulchro, *τὰ κεφάλαια* composuisse iisque *τὰ ἐπιχειρήματα* quae pro *κεφαλαίοις* habenda sint (*ἃ ὡς κεφάλαια συναριθμεῖται*) inseruisse. Iam quid sint *κεφάλαια*, facile diiudicatur; sunt Plotini librorum argumenta brevibus sententiis expressa. Eodem sensu saepissime in commentariis ad Aristotelis libros scriptis verbum *κεφάλαια* usurpatur, velut Arist. com. I p. 544_6 (Alexandri Aphrod. in Metaph. comm. ed. Hayduck): *λέγει δέ, ὅτι*

συλλογίσασθαι δεῖ, καὶ τί τὸ συλλογίσασθαι σημαίνει ἐπήγαγεν, ὅτι συναγαγεῖν τὸ κεφάλαιον ἤτοι τὰ κυριώτατα καὶ τέλος ἐπιθεῖναι (*κεφ.* = *τὰ κυριώτατα καὶ τέλος*); ut alia exempla praetermittam, permultis locis scribitur: *τὰ κεφάλαια τῶν εἰρημένων* (i. e. summa), *ὡς ἐπὶ κεφαλαίων εἰπεῖν* etc.

Sed si *ἀφορμάς* ipsas inspexerimus, capita I—XXX, quamquam sane licet generatim appellare *κεφάλαια*, tamen mea quidem sententia non sunt eiusdem generis cum illis *κεφαλαίοις*, quae philosophus in capite XXVI laudat. Nam cum *κεφάλαια* ad unumquemque Plotini librum secundum tempora, quibus edebatur, se composuisse auctor ipse affirmet, capita illa, velut I—VI etc. non uni sed tribus Enneadibus respondere supra disserui. Ac cuius libri cpp. VIII et IX sunt *κεφάλαια*? Immo cum nullo libro Enneadum cohaerent illa. Capita denique longiora, quae easdem fere sententias ac Plotini libri exhibent, *κεφάλαια* appellari non possunt.

Restat, ut quid sint *ἐπιχειρήματα* quaeramus, quam ad rem cognoscendam commentarios in Aristotelis libros compositos perscrutemur. In eis enim hoc verbum, quid sibi velit, definitur, cf. II_2 p. 126_{11} (Alexandri Aphr. in top. com. ed. M. Wallies) *ἔστι δὲ ὁ τόπος ἀρχὴ καὶ ἀφορμὴ ἐπιχειρήματος· ἐπιχείρημα δὲ καλοῦσι τὸν διαλεκτικὸν συλλογισμόν*; *ἐπιχειρήματα* igitur sunt conclusiones vel syllogismi. Ut autem apertius intelligas, quid sint *ἐπιχειρήματα*, cf. XIX 1 p. 56_6 sqq. (Aspasii in Ethic. Nic. com. ed. Heylbut): *τῷ μὲν γὰρ ἀσώτῳ δοκεῖ ἀνείμενος ὁ ἀνελεύθερος εἶναι, τῷ δὲ ἀνελευθέρῳ ἀνείμενος ὁ ἄσωτος. ὁ δὲ Ἀριστοτέλης τρισὶν ἐπιχειρήμασιν εἰς τὸν τοιοῦτον χρῆται, ἑνὶ μὲν ἐκ παραβολῆς· ὡς γὰρ τὸ μέγα τοῦ μικροῦ πλέον ἀφίστησι τῆς μεσότητος. ἔτι ἐκ τοῦ πρὸς τὸ μέσον τοῖς ἄκροις ὁμοιότητα εἶναι, ἀλλήλοις δὲ πᾶσαν ἀνομοιότητα. τρίτον ἐκ τοῦ ὁρισμοῦ τῶν ἐναντίων κ. τ. λ.* III_2 p. 118_{12} *εὐπορεῖν ἐπιχειρημάτων* et *λόγους ποιεῖσθαι* et *μύθους διεξέρχεσθαι*: alterum alteri opponitur. XVIII_1 p. 49_{28} (Eliae in Porph. isag. et Arist. Categor. comm. ed. Busse) in oppositione

stant ἐπιχειρήματα et προβλήματα. XXI_2 p. 8_{36} (Anonymi et Stephani in art. rhetor. com. ed. Rabe) ἐπιχειρήματα conferuntur cum πίστεσι (= argumenta, Beweismittel); XXI_2 95_{13} ἐπιχειρήματα et τόποι comparantur: ἐκ τούτων οὖν τῶν τόπων ἤτοι ἐπιχειρημάτων. XXI_2 p. 291_3 ἐπιχειρ. una cum δικαιολογίαις dicuntur (argumentationes): εἶπον ἂν ἐγὼ ἐνταῦθα καὶ τὰ ἐπιχειρήματα καὶ τὰς δικαιολογίας.

In XXVI igitur capite Plotini vitae ἐπιχειρήματα, quae Porphyrius affert, sunt disputationes vel expositiones de Plotini conclusionibus vel argumentationibus in Enneadibus adhibitis. Iam vero quamquam multa capita ἀφορμῶν ἐπιχειρήματα recte appellantur, tamen, cum Porphyrium in eodem libro ad unumquemque Plotini librum non solum κεφάλαια sed etiam ἐπιχειρήματα composuisse, quae illis simillima erant (ἃ ὡς κεφάλαια συναριθμεῖται), ex cap. XXVI appareat, iisdem fere de causis, quas de κεφαλαίοις attuli, sequitur, ut libro nostro ἐπιχειρήματα a Porphyrio laudata non contineantur.

Quare ut summam complectamur, neque ὑπομνήματα neque κεφάλαια neque ἐπιχειρήματα haec capita esse mihi persuasi, sed alius Porphyrii liber nobis praesto est, cuius consilium ac rationem iam Holstenius intellexit: est quaedam in Plotini philosophiam introductio, cuius libri fragmenta tantum ad nostram memoriam pervenerunt.

V.

Tabula siglorum.

	V	V	=	cod. Vatican. 1737
O	S	U	=	cod. Vatican. 237
		Q	=	„ Parisinus 450
		R	=	„ Parisinus 907
		M	=	„ Monacensis 91
				„ Marcianus 263
	T	L	=	„ Laurentianus 80_{15}
		N	=	„ Monacensis 171
Stobaei libri		P	=	Stobaei cod. Parisin. 2129
		F	=	„ „ Farnesin.
		A	=	„ „ Parisinus gr. 1984
		Br	=	„ „ Bruxellensis 11360
		M^d	=	cod. Escurialens. collatio Dindorfiana.

Holst. vel Holsten = Holstenii editio librorum *περὶ ἀποχῆς ἐμψύχων*, de antro nympharum, *ἀφορμαὶ πρὸς τὰ νοητά*, Romae 1630.

Cr. = Enneades cum Marsilii Ficini interpretatione castigata edider. Creuzer et Moser; primum accedunt Porphyrii institutiones Plotinianae ... Paris. 1855.

Wachsmuth = Stobaei Florilegia I et II ed. Wachsmuth.

Bouillet = Les Ennéades de Plotin traduites par Bouillet, Paris 1857.

ΠΟΡΦΥΡΙΟΥ
ΑΦΟΡΜΑΙ ΠΡΟC ΤΑ ΝΟΗΤΑ.

I. *Πᾶν μὲν σῶμα ἐν τόπῳ, οὐδὲν δὲ τῶν καθ' αὑτὰ ἀσωμάτων ἤ τι τοιοῦτον ἐν τόπῳ.* V, O

II. *Τὰ καθ' αὑτὰ ἀσώματα αὐτῷ, ᾧ κρείττονα παντός ἐστι σώματος καὶ τόπου, πανταχῇ ἐστιν, οὐ διαστατῶς ἀλλ' ἀμερῶς.*

III. *Τὰ καθ' αὑτὰ ἀσώματα, οὐ τοπικῶς παρόντα τοῖς σώμασι, πάρεστιν αὐτοῖς, ὅταν βούληται, πρὸς αὐτὰ ῥέψαντα ᾗ πέφυκε ῥέπειν· καὶ τοπικῶς αὐτοῖς οὐ παρόντα τῇ σχέσει πάρεστιν αὐτοῖς.*

IV. *Τὰ καθ' αὑτὰ ἀσώματα ὑποστάσει μὲν καὶ οὐσίᾳ οὐ πάρεστιν οὐδὲ συγκίρναται τοῖς σώμασι, τῇ δὲ ἐκ τῆς ῥοπῆς ὑποστάσει τινὸς δυνάμεως μεταδίδωσι προσεχοῦς τοῖς σώμασιν· ἡ γὰρ ῥοπὴ δευτέραν τινὰ δύναμιν ὑπέστησε προσεχῆ τοῖς σώμασιν.*

V. *Ἡ μὲν ψυχὴ τῆς ἀμερίστου καὶ περὶ τὰ σώματα μεριστῆς οὐσίας μέσον τι, ὁ δὲ νοῦς ἀμέριστος οὐσία μόνον,* V, O, Stob (Ecl. I 49 p. 343)

---

c. V. cf. Plot. IV 2_1 *ὥστε διαιρουμένων τῶν σωμάτων μερίζεσθαι μὲν καὶ τὸ ἐν αὐτοῖς εἶδος ... ἅτε πάντη μεριστὸν γενό-*

---

2 *ἀφορμαὶ πρὸς τ. ν.* O Stob] *ἔφοδοι εἰς τ. ν.* V 3 *πᾶν σῶμα* O *ἐὰν μὲν σῶμα* V 4 *τι* om. V 5 *αὐτῷ ᾧ*] *αὐτὸ ᾧ* O (*αὐτὸ ὃ* N²) *κρεῖττον* O 6 *σώματος καὶ* om V *διαστατικῶς* UQ 9 *βούλονται* N *τρέψαντα* V 10 *ᾗ* O] *ἃ* V *καὶ* post *ᾗ* praeb UT *καὶ* V] *ἀλλὰ* O 13 *οὐδὲ* V] *οὐ γὰρ* O(U²) 14 *δίδωσι* V 17 *τῆς* post *καὶ* add. Wachsm., sed cf. Raderm. ad. Demetr. 69. 18 *ἐστίν* post *τι* praeb. O.

τὰ δὲ σώματα μεριστὰ μόνον, αἱ δὲ ποιότητες καὶ τὰ ἔνυλα εἴδη περὶ τὰ σώματα μεριστά.

v, o **VI.** Οὐ πᾶν τὸ ποιοῦν εἰς ἄλλο πελάσει καὶ ἀφῇ ποιεῖ, ἃ ποιεῖ, ἀλλὰ καὶ τὰ πελάσει καὶ ἀφῇ τι ποιοῦντα κατὰ συμβεβηκὸς τῇ πελάσει χρῆται.

v, o, Stob. (Ecl. I 49 p. 343) **VII.** Ψυχὴ καταδεῖται πρὸς τὸ σῶμα τῇ ἐπιστροφῇ τῇ πρὸς τὰ πάθη τὰ ἀπ' αὐτοῦ καὶ λύεται δὲ πάλιν διὰ τῆς ἀπ' αὐτοῦ ἀπαθείας.

v, o **VIII.** Ὃ ἔδησεν ἡ φύσις, τοῦτο φύσις λύει, καὶ ὃ ἔδησεν ἡ ψυχή, τοῦτο αὐτὴ λύει. ἔδησε μὲν φύσις σῶμα ἐν ψυχῇ, ψυχὴ δὲ ἑαυτὴν ἐν σώματι. φύσις μὲν ἄρα λύει σῶμα ἐκ ψυχῆς, ψυχὴ δὲ ἑαυτὴν λύει ἐκ τοῦ σώματος.

v **IX.** Ὁ γοῦν θάνατος διπλοῦς· ὁ μὲν συνεγνωσμένος, λυομένου τοῦ σώματος ἀπὸ ψυχῆς, ὁ δὲ τῶν φιλοσόφων, λυομένης τῆς ψυχῆς ἀπὸ τοῦ σώματος· καὶ οὐ πάντως ἕτερος ἑτέρῳ ἕπεται.

v, o **X.** Πάντα μὲν ἐν πᾶσιν, ἀλλὰ οἰκείως τῇ ἑκάστου οὐσίᾳ·

μενον· οἷα χρόαι καὶ ποιότητες πᾶσαι ... φύσιν εἰς μέσον ἀμφοῖν κατέστη τοῦ τε ἀμερίστου καὶ πρώτου καὶ τοῦ περὶ τὰ σώματα μεριστοῦ τοῦ ἐπὶ τοῖς σώμασιν. Plot. IV 1 τὸ οὖν ἐκ τῆς ἀμερίστου καὶ τῆς περὶ τὰ σώματα μεριστῆς ταὐτὸν ... νοῦς μὲν οὖν ἀεὶ ἀδιάκριτος καὶ οὐ μεριστός. — Procl. στοιχ. θεολ. CLXXI et CXC.

c. VI. ἀφῇ: cf. πρὸς Γαῦρον XI 2.

c. VII. cf. Plot. III 6,5 fin.

c. IX. ὁ δὲ τῶν φιλοσόφων: cf. Plot. VI 4,16 εἰ δὲ παντελῶς λύσειε φιλοσοφία ... αὐτὴ δὲ καθαρῶς ἐν τῷ νοητῷ οὐδενὸς ἐξηρτημένον αὐτοῦ ...

c. X. cf. Procl. στοιχ. θεολ. CIII. πάντα ἐν πᾶσιν, οἰκείως δὲ ἐν ἑκάστῳ ... ἀλλ' ὅπου μὲν νοερῶς, ὅπου δὲ ζωτικῶς, ὅπου

---

1 τὰ δὲ σώμ. μερ. μόνον om. O   2 κατὰ τὰ σώμ. O(U^2) μεριστά V i. mg.   3 πᾶν om. Holst.   6 τὸ om Stob.   7 ὑπ' αὐτοῦ Stob.   δὲ πάλιν om. Stob.   8 ἀπ' αὐτοῦ om. Stob.   9 ὃ suprascr. V^2.   καὶ post τοῦτο praeb. U^{2}MQT.   10 ἡ φύσις O.   11 ψυχὴν V^1 corr. V^2.   αὐτὴν V^1 corr. V^2.   12 ἀπὸ σώματος V.   17 άντα V (π oblitus est rubricator).

ἐν νῷ μὲν γὰρ νοερῶς, ἐν ψυχῇ δὲ λογικῶς, ἐν δὲ τοῖς φυτοῖς σπερματικῶς, ἐν δὲ σώμασιν εἰδωλικῶς, ἐν δὲ τῷ ἐπέκεινα ἀνεννοήτως τε καὶ ὑπερουσίως.

XI. *Αἱ ἀσώματοι ὑποστάσεις ὑποβαίνουσαι μὲν μερίζονται καὶ πληθύνονται εἰς τὰ κατὰ ἄτομον ὑφέσει δυνάμεως, ὑπερβαίνουσαι δὲ ἑνίζονται καὶ εἰς τὸ ὁμοῦ ὂν χωροῦσι δυνάμεως περιουσίᾳ.* O

XII. *Οὐ μόνον ἐν τοῖς σώμασι τὸ ὁμώνυμον, ἀλλὰ καὶ ἡ ζωὴ τῶν πολλαχῶς· ἄλλη γὰρ ζωὴ φυτοῦ, ἄλλη ἐμψύχου, ἄλλη νοεροῦ, ἄλλη φύσεως, ἄλλη ψυχῆς, ἄλλη νοερά, ἄλλη τοῦ ἐπέκεινα· ζῇ γὰρ κἀκεῖνο, εἰ καὶ μηδὲν τῶν μετ' αὐτὸ παραπλήσιον αὐτῷ ζωὴν κέκτηται.* V, O

δὲ ὄντως κ. τ. λ. cf. praet. Procl. CXVIII, CLXXIII, CXCV, CXCVII.

c. XI. cf. Plot. V 3,16 *ἐκεῖνα δὲ νῦν λεκτέον, ὡς, ἐπειδὴ ἐν τοῖς γεννωμένοις οὐκ ἔστι πρὸς τὸ ἄνω, ἀλλὰ πρὸς τὸ κάτω χωρεῖν καὶ μᾶλλον εἰς πλῆθος ἰέναι, καὶ ἡ ἀρχὴ ἑκάστων ἁπλουστέρα ἢ αὐτά.*

Procl. *στοιχ. θεολ.* XXI. *πᾶσα τάξις ἀπὸ μονάδος ἀρχομνένη πρόεισιν εἰς πλῆθος τῇ μονάδι σύστοιχον, καὶ πάσης τάξεως τὸ πλῆθος εἰς μίαν ἀνάγεται μονάδα κ.τ.λ.... εἰς τὸ πλῆθος ὑπόβασιν ... καὶ εἰς πλῆθος ψυχῶν ὑποβαίνειν καὶ τὸ πλῆθος εἰς τὴν μίαν ἀνάγειν.*

c. XII. cf. Plot. I, 4,3 *εἰ μὲν συνώνυμον τὸ ζῆν ἐποιούμεθα ... πολλαχῶς τοίνυν τῆς ζωῆς λεγομένης ... ὁμωνύμως τοῦ ζῆν λεγομένου (ἄλλως μὲν τοῦ φυτοῦ, ἄλλως δὲ τοῦ ἀλόγου).* cf. praeterea Plot. III 8,8.

πάντα μὲν ἐν πᾶσ.] *οὐχ ὁμοίως ἐννοοῦμεν ἐν πᾶσιν* O (*μὲν νοοῦμεν* U[1]Q. i. textu T). *τῇ* om. T. 1 *ἐν δὲ τοῖς φυτοῖς* — *εἰδωλ.* bis habet V. 3 *ἀνενοήτως* VT (N i. mg). 4 *ὑποβαίνουσι* QT (N[1]) *καὶ μερίζ.* Holst. 6/7 *ὂν χωροῦσι* Kroll] *ἀντιχωρ.* O an *ἀναχ.*? 8 *τὸ* om. V. 9 *καὶ* post *φυτοῦ* praeb. O. 10 *τοῦ ἐπέκεινα* post *φύσεως* hab. O *ἄλλη ψυχῆς* uncis incl. Holst. *νοερὰ*] an *νοητοῦ*? 11 *ἄλλη τοῦ ἐπέκεινα* om. O. *κακεῖνα* O. 11/12 *μετ' αὐτὸ*] *παρ' αὐτὸ* O. 12 *παραπλησίαν* O. *αὐτῷ*] *αὐτὸ* U[1]L *αὐτοῦ* N (sed. corr. i. mg).

V, O **XIII.** *Πᾶν τὸ γεννῶν τῇ οὐσίᾳ αὐτοῦ χεῖρον αὐτοῦ γεννᾷ, καὶ πᾶν τὸ γεννηθὲν φύσει πρὸς τὸ γεννῆσαν ἐπιστρέφει· τῶν δὲ γεννώντων τὰ μὲν οὐδ' ὅλως ἐπιστρέφει πρὸς τὰ γεννηθέντα, τὰ δὲ καὶ ἐπιστρέφει καὶ οὐκ ἐπιστρέφει, τὰ δὲ μόνον ἐπέστραπται πρὸς τὰ γεννήματα, εἰς ἑαυτὰ μὴ ἐπιστρέφοντα.*

Stob. Ecl. I 48 p. 312. **XIV.** *Πᾶν γεννητὸν ἀπ' ἄλλου τὴν αἰτίαν τῆς γενέσεως ἔχει, εἴγε μηδὲν ἀναιτίως γίγνεται. ἀλλὰ τῶν γε γεννητῶν, ὅσα μὲν διὰ συνθέσεως κέκτηται τὸ εἶναι, λυτὰ ἂν εἴη καὶ διὰ τοῦτο φθαρτά. ὅσα δὲ ἁπλᾶ καὶ ἀσύνθετα ὄντα ἐν τῷ ἁπλῷ τῆς ὑποστάσεως κέκτηται τὸ εἶναι, ἄλυτα ὄντα, ἔστι μὲν ἄφθαρτα, γεννητὰ δὲ λέγεται οὐ τῷ σύνθετα εἶναι, ἀλλὰ τῷ ἀπ' αἰτίου τινὸς ἀνηρτῆσθαι. τὰ μὲν οὖν σώματα διχῶς γεννητά, καὶ ὡς ἀπ' αἰτίας ἠρτημένα τῆς παραγούσης καὶ ὡς σύνθετα· ψυχὴ δὲ καὶ νοῦς γεννητά, ὡς ἀπ' αἰτίας ἠρτημένα μόνον, οὐ μὴν καὶ ὡς σύνθετα. τὰ μὲν ἄρα σώματα γεννητὰ καὶ λυτὰ καὶ φθαρτά, τὰ δὲ ἀγέννητα μὲν ὡς ἀσύνθετα καὶ ταύτῃ καὶ ἄλυτα καὶ ἄφθαρτα, γεννητὰ δὲ ὡς αἰτίου ἠρτημένα.*

---

c. XIII. cf. Porph. *πρὸς Γαῦρον* VI 2, praecip. XIV 3: *δέον ἄνωθεν κάτω καὶ ἀπὸ τοῦ κρείττονος προάγειν τὸ ἧττον, ὅτι πᾶν τὸ γεννῶν τῇ αὐτοῦ οὐσίᾳ χεῖρον ἑαυτοῦ πέφυκε γεννᾶν οὐ κρεῖττον. καὶ διὰ τοῦτο ἡ ἐν ἡμῖν φυτικὴ χεῖρον ἐγέννα ἑαυτῆς κ. τ. λ.* — Plot. V 2,2 *τοῦ δὲ γεννωμένου ἄλλην τάξιν λαμβάνοντος τὴν χείρονα . . .* — V 4,1 fin: *καὶ τιμιώτατον εἶναι τὸ γεννῶν, τὸ δ' ἐφεξῆς γεννώμενον καὶ δεύτερον ἐκείνου τῶν ἄλλων ἄμεινον εἶναι.* — Procl. *στοιχ. θεολ.* VII, XV, XXXI.

c. XIV. cf. Plot. III 1,1 *περὶ δὲ τῶν γιγνομένων ἢ ὄντων μὲν . . . ἀεὶ κατ' αἰτίας ἅπαντα λεκτέον γίνεσθαι, τὸ δὲ ἀναίτιον οὐ παραδεκτέον . . .* — Procl. *στοιχ. θεολ.* XI.

---

1 *πᾶν*] *ἐὰν* V (errore rubricatoris). 5 *τὰ δὲ*] *τὰ μὲν* N[2] i. mg. 8 *τῶν γε*] *τῶν τε* codd. 9 *λυτὰ* Mein.] *αὐτὰ* codd. 15 *ἁπλῶς* post *νοῦς* ins. Mein. 17 *νοητὰ* post *τὰ δὲ* inser. Mein. 19 *ἀπ' αἰτίου* Mein.

XV. Ἡ μνήμη οὐκ ἔστι φαντασιῶν σωτηρία, ἀλλὰ τῶν μελετηθέντων ἐκ νέας προβολή. V, O [XVI]

XVI. Ἡ ψυχὴ ἔχει μὲν πάντων τοὺς λόγους, ἐνεργεῖ δὲ κατ' αὐτοὺς ἢ ὑπ' ἄλλου εἰς προχείρισιν ἐκκαλουμένη ἢ ἑαυτὴν εἰς αὐτοὺς ἐπιστρέφουσα εἰς τὸ εἴσω. καὶ ὑπ' ἄλλου μὲν ἐκκαλουμένη ὡς πρὸς τὰ ἔξω τὰς αἰσθήσεις ἀποδίδωσιν, εἰς δὲ ἑαυτὴν εἰσδῦσα πρὸς τὸν νοῦν [ὡς] ἐν ταῖς νοήσεσι γίνεται. οὔτε οὖν αἰσθήσεις ἔξωθεν οὔτε νόησις ἄλλη· ἔτι δὲ ὡς τῷ ζῴῳ οὐκ ἄνευ πάθους τῶν αἰσθητικῶν ὀργάνων αἱ αἰσθήσεις, οὕτω καὶ αἱ νοήσεις οὐκ ἄνευ φαντασίας, ἵν' ᾖ τὸ ἀνάλογον, ὡς ὁ τύπος παρακολούθημα ζῴου αἰσθητικοῦ, οὕτω τὸ φάντασμα ψυχῆς ζῴου ἑπόμενον νοήσει. O, Stob. (Ecl. I 49 p. 343). [XVII]

---

c. XV. cf. Plot. IV 6,1 οὐδὲ τὰς μνήμας πάντως τε καὶ ἀκολούθως ἐροῦμεν κατοχὰς μαθημάτων καὶ αἰσθήσεων εἶναι τοῦ τύπου μείναντος ἐν τῇ ψυχῇ. III 6,2 μεμνῆσθαι δὲ δεῖ, ὅτι καὶ τὰς μνήμας οὐκ ἐναποκειμένων τινῶν ἐλέγετο εἶναι ἀλλὰ τῆς ψυχῆς οὕτω τὴν δύναμιν ἐγειράσης, ὥστε καί, ὃ μὴ ἔχει, ἔχειν.

c. XVI. cf. Plot V 7,1 ἀλλ' εἰ ἡ ψυχὴ ἑκάστου, ὧν διεξέρχεται, τοὺς λόγους ἔχει πάντων, πάντες αὖ ἐκεῖ. cf. praeterea Plot. IV 3,10, IV 6,3.

l. 6 sqq.: cf. Plot. IV 3,30/31 ὅτι τὸ δεχόμενον οὐ μόνον δέχεται νοήσεις, ἀλλὰ καὶ αἰσθήσεις ... διτταὶ ἀεὶ αἱ φαντασίαι· οὐ γὰρ δὴ τὸ μὲν τῆς ἑτέρας τῶν νοητῶν, τὸ δὲ τῶν αἰσθητῶν.

l. 10 ὀργάνων: cf. Plot. IV 4,22 ἢ οὐ τολμητέον καὶ ἄνευ ὀργάνων γίνεσθαι αἰσθήσεις ... — IV 4,23 δι' ὀργάνων δεῖ σωματικῶν τὰς αἰσθήσεις γίνεσθαι. cf. praet. IV 5,1.—Procl. στοιχ. θεολ. CXCIV.

---

1 Ἡ om. MQ. 2 ἐκ νέας προβαλέσθαι προβολή V προβάλλεσθαι ἐκ νέας προβλήματα O προβαλέσθαι del. Kroll. 4 προχείρησιν U[1]QN Stob. εἰς τὴν προχ. Stob. ἐνκαλ. N[2]. 6 ἀποδίδωσιν Stob.] εἰσάγειν δίδωσιν O εἴσω δίδωσιν Usener. 7 εἰσδῦσα] εἰσιοῦσα Stob. πρὸς τὸν νοῦν om. O. ὡς om. Stob. 8 οὖν om. U[1]MQStob. οὔτε οὖν αἰσθήσεις ἔξω φαντασίας οὔτε αἱ νοήσεις εἴπῃ τις ὡς τῷ ζῴῳ O. 9 ἔτι Heeren] ποτὲ Stob. 11 ἵν' ᾖ] εἰ μὴ O. ὁ om. O.

O, Stob. (Ecl. I 49 p. 344). [XVIII] **XVII.** Ἡ ψυχὴ οὐσία ἀμεγέθης, ἄυλος, ἄφθαρτος, ἐν ζωῇ παρ' ἑαυτῆς ἐχούσῃ τὸ ζῆν κεκτημένη τὸ εἶναι.

O, Stob. (Ecl. I 49 p. 344). [XIX] **XVIII.** Ἄλλο τὸ πάσχειν τῶν σωμάτων, ἄλλο τὸ τῶν ἀσωμάτων· τῶν μὲν γὰρ σωμάτων σὺν τροπῇ τὸ πάσχειν, τῆς δὲ ψυχῆς αἱ οἰκειώσεις καὶ τὰ πάθη ἐνέργειαι, οὐδὲν ἐοικυῖαι θερμάνσεσι καὶ ψύξεσι σωμάτων. διὸ εἴπερ τὸ πάσχειν σὺν τροπῇ, ῥητέον ἀπαθῆ πάντα τὰ ἀσώματα· τὰ μὲν γὰρ ὕλης κεχωρισμένα καὶ τῶν σωμάτων ἐνεργείᾳ ἦν τὰ αὐτὰ, τὰ δὲ ὕλῃ πλησιάζοντα καὶ σώμασιν αὐτὰ μὲν ἀπαθῆ, τὰ δὲ ἐφ' ὧν θεωρεῖται πάσχει. ὅταν γὰρ τὸ ζῷον αἰσθάνηται, ἔοικεν ἡ μὲν ψυχὴ ἁρμονίᾳ χωριστῇ ἐξ ἑαυτῆς τὰς χορδὰς κινούσῃ ἡρμοσμένας, τῇ δ' ἐν ταῖς χορδαῖς ἁρμονίᾳ ἀχωρίστῳ τὸ σῶμα. τὸ δ' αἴτιον τοῦ κινῆσαι τὸ ζῷον, διὰ τὸ εἶναι ἔμψυχον, ἀνάλογον δὲ τῷ μουσικῷ, διὰ

---

ad. c. XVII et XVIII cf. Plot. III 6,1—4.
ad. c. XVII cf. Procl. στοιχ. θεολ. CLXXXVI sq.
l. 5 sq.: cf. Plot. III 6,1 καὶ ὅλως ὁ λόγος ἡμῖν καὶ τὸ βούλημα μὴ ὑποβαλεῖν τροπαῖς καὶ ἀλλοιώσεσι τὴν ψυχὴν τοιαύταις, ὁποῖαι αἱ θερμάνσεις καὶ ψύξεις σωμάτων. cf. praet. Plot. I 1,3.
l. 11 sq. cf. Plot. IV 7,8 ubi anima et corpus cum ἁρμονίᾳ et χορδαῖς comparantur; praesert. cf. Plot. III 6,4 οἷον εἰ ἡ ἁρμονία ἐξ αὐτῆς τὰς χορδὰς ἐκίνει ... τὰ δὲ αἴτια τοῦ κινῆσαι ἀνάλογον τῷ μουσικῷ, τὰ δὲ πληγέντα διὰ πάθους πρὸς τὰς χορδὰς ἂν τὸν λόγον ἔχοι. καὶ γὰρ κἀκεῖ οὐχ ἡ ἁρμονία πέπονθεν, ἀλλ' ἡ χορδή· οὐ μὴν ἐκινήθη ἂν ἡ χορδὴ μουσικῶς, εἰ καὶ ὁ μουσικὸς ἐβούλετο, μὴ τῆς ἁρμονίας τοῦτο λεγούσης.

---

2 καὶ κτωμένη U²M καὶ κτημένη QR καὶ κεκτημ. T 3 τὸ post. om. T Stob. 4 τῶν] τὸ Stob. σωμάτων] ἀσωμάτων Stob. 5 αἱ οἰκεῖαι M. οὐδὲν] οὐδὲ O. 7 πάσχειν τῶν σωμάτων O (U¹ i. mg) ἀεὶ σὺν τροπ. L παντελῶς σὺν τρ. Stob. ἀπαθῆ ῥητέον Stob. πάντα] παντελῶς Stob. 8 τῶν om Stob. ἐνεργείαις F ἐνέργειαι P¹. 10 τὸ om. O. 11 αἰσθάνεται U¹. 12 κινοῦσα F κινοῦσιν P. τῇ δ' ἐν ταῖς χορδαῖς om. Stob. ante ἁρμονίᾳ ἀχ. lacunam statuer. Canter et Wachsm., qua maior pars alterius coli interciderit, talis fere: αὐτὴ δ' ἡ αἴσθησις. 13 ἀχωρίστως QT τὸ σῶμα om. Stob. 14 εἶναι] εἶ μὲν L εἶναι μὲν QRM. δὲ om. Stob. ἐστὶν pro δὲ coni. Kroll.

τὸ εἶναι ἐναρμόνιον, τὰ δὲ πληγέντα σώματα διὰ πάθος αἰσθητικὸν ταῖς ἡρμοσμέναις χορδαῖς. καὶ γὰρ ἐκεῖ οὐχ ἡ ἁρμονία πέπονθεν ἡ χωριστή, ἀλλ' ἡ χορδή. καὶ κινεῖ μὲν ὁ μουσικὸς κατὰ τὴν ἐν αὐτῷ ἁρμονίαν. οὐ μὴν ἐκινήθη ἂν ἡ χορδὴ μουσικῶς, εἰ καὶ ὁ μουσικὸς ἐβούλετο, μὴ τῆς ἁρμονίας τοῦτο λεγούσης.

XIX. Ἡ τῶν ἀσωμάτων προσηγορία οὐ κατὰ κοινότητα ἑνὸς καὶ ταὐτοῦ γένους προσηγόρευται, καθάπερ τὰ σώματα, κατὰ δὲ ψιλὴν τὴν πρὸς τὰ σώματα στέρησιν· ὅθεν τὰ μὲν αὐτῶν ὄντα, τὰ δὲ οὐκ ὄντα εἶναι οὐ κεκώλυται. καὶ τὰ μὲν πρὸ σωμάτων, τὰ δὲ μετὰ σωμάτων, καὶ τὰ μὲν χωριστὰ σωμάτων, τὰ δὲ ἀχώριστα, καὶ τὰ μὲν καθ' ἑαυτὰ ὑφεστηκότα, τὰ δὲ ἄλλων εἰς τὸ εἶναι δεόμενα, καὶ τὰ μὲν ἐνεργείαις τὰ αὐτὰ καὶ ζωαῖς αὐτοκινήτοις, τὰ δὲ ταῖς ζωαῖς παρυφισταμέναις ταῖς ποιαῖς ἐνεργείαις. κατὰ γὰρ ἀπόφασιν, ὧν οὐκ ἔστιν, οὐ κατὰ παράστασιν, ὧν ἐστι, προσηγόρευται. V, O [XX]

XX. Τῆς ὕλης τὰ ἴδια κατὰ τοὺς ἀρχαίους τάδε· ἀσώματος, ἑτέρα γὰρ σωμάτων, ἄζωος, οὔτε γὰρ νοῦς οὔτε ψυχὴ οὐ ζῶν καθ' ἑαυτό, ἀνείδεος, ἀλλοῖος, ἄπειρος, ἀδύνα- V, O [XXI]

---

ad. c. XIX. cf. Plot. V 3,14 καὶ γὰρ λέγομεν, ὃ μή ἐστιν . . . ὃ δέ ἐστιν οὐ λέγομεν.

ad. c. XX. cf. Plot. II 4,8; praecip. III 6,7 οὕτω γὰρ τοῦ ὀνόματος τετύχηκε τοῦ αὐτοῦ κατὰ τὸ ἀσώματον, ὅτι ἑκάτερον τό τε ὂν ἥ τε ὕλη ἑτέρα τῶν σωμάτων. οὔτε δὲ ψυχὴ οὖσα οὔτε νοῦς οὔτε ζωὴ οὔτε εἶδος οὔτε λόγος οὔτε πέρας ⟨ἀπειρία γὰρ⟩ οὔτε δύναμις (τί γὰρ καὶ ποιεῖ;) . . . μὴ ὂν δ' ἂν εἰκότως λέγοιτο

---

1 πάθους P. 2 οὐχ] οὐθ' Stob. 3 πέπονθε T. 4 αὐτῷ Mein.] αὑτῷ codd. 6 τούτῳ ἐνούσης Wachsm. τοῦτο θελούσης Mein. 8 ἑνὸς ταὐτοῦ Holst. οὕτως προσαγ. O. 9 ψιλὴν] ψυχὴν V. ἀσώματα V. 10 μὴ κωλύεται V. 15 παρυφιστάμενα O. 16 ὧν] ὂν V. παράστασιν ὂν προσηγ. V. 19 σωμάτων] σώματα M. ἄζωτος Holst. 20 οὐ ψυχή V. ζῶν] ζῶον R. ἀλλοῖος cf. Schmid Atticismus IV 42 III 46

μος. διὸ οὐδὲ ὂν καὶ οὐκ ὄν· καὶ οὐχ ὅπερ κίνησις μὴ ὂν ἢ στάσις μὴ ὄν, ἀλλ' ἀληθινὸν μὴ ὄν, εἴδωλον καὶ φάντασμα ὄγκου, ὅτι τὸ πρώτως ἐν ὄγκῳ, τὸ ἀδύναμον καὶ ὕφεσις ὑποστάσεως καὶ ἑστὸς οὐκ ἐν στάσει καὶ τὸ ⟨ἐναντίον⟩ ἀεὶ ἐφ' ἑαυτοῦ φανταζόμενον, μικρὸν καὶ μέγα, καὶ ἧττον καὶ μᾶλλον, ἐλλεῖπον καὶ ὑπερέχον, ἀεὶ γινόμενον καὶ οὐ μένον, οὐδ' αὖ φεύγειν δυνάμενον, ἔλλειψις παντὸς τοῦ ὄντος. διὸ πᾶν, ὃ ἐπαγγέλλεται, ψεύδεται, κἂν μέγα φαντασθῇ, μικρόν ἐστιν. οἷον γὰρ παίγνιόν ἐστι,. φεῦγον εἰς τὸ μὴ ὄν· ἡ γὰρ φυγὴ οὐ τόπῳ, ἀλλὰ τῇ ἐκ τοῦ ὄντος ἀπολείψει. ὅθεν καὶ τὰ ἐν αὐτῇ εἴδωλά ἐστιν ἐν εἰδώλῳ χείρονι, ὥσπερ ἐν κατόπτρῳ τὸ ἀλλαχοῦ ἱδρυμένον ἀλλαχοῦ φανταζόμενον καὶ πιμπλάμενον, ὡς δοκεῖ, καὶ ἔχον οὐδὲν καὶ δοκοῦν ⟨τὰ πάντα⟩.

V, O [XXII] **XXI.** Τὰ πάθη πάντα περὶ τοῦτο, περὶ ὃ καὶ ἡ φθορά· ὁδὸς γάρ ἐστιν εἰς φθορὰν ἡ παραδοχὴ τοῦ πάθους, καὶ

καὶ οὐχ ὥσπερ κίνησις μὴ ὂν ἢ στάσις μὴ ὄν, ἀλλὰ ἀληθινῶς μὴ ὄν, εἴδωλον καὶ φάντασμα ὄγκου καὶ ὑποστάσεως ἔφεσις καὶ ἑστηκὸς οὐκ ἐν στάσει ... καὶ τὰ ἐναντία ἀεὶ ἐφ' ἑαυτοῦ φανταζόμενον, μικρὸν καὶ μέγα καὶ ἧττον καὶ μᾶλλον, ἐλλεῖπόν τε καὶ ὑπερέχον, εἴδωλον οὐ μένον οὐδ' αὖ φεύγειν δυνάμενον .., ἀλλ' ἐν ἐλλείψει τοῦ ὄντος παντὸς γενόμενον. διὸ πᾶν ὃ ἂν ἐπαγγέλληται ψεύδεται κἂν μέγα φαντασθῇ, μικρόν ἐστι ... οἷον παίγνιον φεῦγον· ὅθεν καὶ τὰ ἐν αὐτῷ ἐγγίγνεσθαι δοκοῦντα παίγνια, εἴδωλα ἐν εἰδώλῳ ἀτέχνως. ὡς ἐν κατόπτρῳ τὸ ἀλλαχοῦ ἱδρυμένον, ἀλλαχοῦ φανταζόμενον. καὶ πιμπλάμενον, ὡς δοκεῖ, καὶ ἔχον οὐδὲν καὶ δοκοῦν τὰ πάντα.

ad c. XXI cf. Plot. III 6,8—11, Procl. LXXX.

l. 15 sqq. cf. III 6,8 ὥστε καὶ τὰ πάθη περὶ τοῦτο, περὶ ὃ καὶ ἡ φθορά· ὁδὸς γὰρ εἰς φθορὰν ἡ παραδοχὴ τοῦ πάθους,

---

1 καὶ οὐκ ὄν] ἀλλ' οὐκ ὄν O   καὶ post. om. O.   2 ἢ στάσις μὴ ὄν om. O.   3 ὅτε V.   πρῶτον R.   4 ὕφεσις Kroll] ἔφεσις codd.   ἑστὸς correxi] ἑστὼς codd.   ἐναντίον addidit ex Plot. Holst.   6 γιγνόμ. VM.   7 μένον] μόνον T.   φεύγει T.   10 τόπος Q.   11 ἀπολήψει V.   14 τὰ πάντα add. ex Plot. Holst.   15 Τὰ πάθη περὶ τοῦτο πάντα O.   16 καὶ om. O.

τούτου τὸ φθείρεσθαι, οὗ καὶ τὸ πάσχειν· φθείρεται δὲ οὐδὲν ἀσώματον· τινὰ δὲ αὐτῶν ἢ ἔστιν ἢ οὐκ ἔστιν, ὥστε πάσχειν οὐδέν, τὸ γὰρ πάσχον οὐ τοιοῦτον εἶναι δεῖ, ἀλλ' οἷον ἀλλοιοῦσθαι καὶ φθείρεσθαι ταῖς ποιότησι τῶν ἐπεισιόντων καὶ τὸ πάσχειν ἐμποιούντων. τῷ γὰρ ἐνόντι ἀλλοίωσις οὐ παρὰ τοῦ τυχόντος. οὔτε οὖν ἡ ὕλη πάσχει — ἄποιος γὰρ καθ' ἑαυτήν — οὔτε τὰ ἐπ' αὐτῆς εἴδη εἰσιόντα καὶ ἐξιόντα, ἀλλὰ τὸ πάθος περὶ τὸ συναμφότερον, καὶ ᾧ τὸ εἶναι ἐν τῷ συναμφοτέρῳ, τουτὶ γὰρ ἐν ταῖς ἐναντίαις δυνάμεσι καὶ ποιότησι τῶν ἐπεισιόντων καὶ τὸ πάσχειν ἐμποιούντων ὑποκείμενον θεωρεῖται. διὸ καὶ οἷς τὸ ζῆν ἔξωθεν καὶ οὐ παρ' ἑαυτῶν, ταῦτα τὸ ζῆν καὶ τὸ μὴ ζῆν παθεῖν οἷάτε, οἷς δὲ τὸ εἶναι ἐν ζωῇ ἀπαθεῖ, κατὰ ζωὴν μένειν ἀνάγκη, ὥσπερ τῇ ἀζωΐᾳ τὸ μὴ παθεῖν, καθ' ὅσον ἀζωΐα. ὡς οὖν τὸ τρέπεσθαι καὶ πάσχειν ἐν τῷ συνθέτῳ, τῷ ἐξ ὕλης τε καὶ εἴδους, ὅπερ ἦν τὸ σῶμα, οὐ μὴν τῇ ὕλῃ τοῦτο προσῆν, οὕτω καὶ τὸ ζῆν καὶ ἀποθνήσκειν καὶ

καὶ τούτῳ τὸ φθείρεσθαι, ᾧ καὶ τὸ πάσχειν, τὴν δὲ ὕλην φθείρεσθαι οὐχ οἷόν τε . . .

l. 3 sqq. cf. III 6,8 ὅλως δὲ τὸ πάσχον δεῖ τοιοῦτον εἶναι οἷον ἐν ταῖς ἐναντίαις εἶναι δυνάμεσι καὶ ποιότησι τῶν ἐπεισιόντων καὶ τὸ πάσχειν ἐμποιούντων.

l. 6 sqq. cf. III 6,9 ὥσπερ οὖν καὶ τὸ βλαπτόμενον οὐχ ὑπὸ τοῦ τυχόντος, οὕτως οὐδὲ τὸ τρεπόμενον καὶ πάσχον ὑφ' ὁτουοῦν ἂν πάθοι . . . ἀνάγκη τοίνυν, εἴ τι πάσχει, μὴ ὕλην ἀλλά τι συναμφότερον ἢ ὅλως πολλὰ ὁμοῦ εἶναι.

l. 9 sqq. cf. III 6,9 ἀλλὰ τοῖς ἐναντίοις ὑπὸ τῶν ἐναντίων ἡ πεῖσις κ. τ. λ.

---

1 τούτου καὶ τὸ VU[1]. τὸ πάσχειν ἐστίν UMT. 2 ἢ post. om. T (add. N[2] i. mg). 3 πάσχει S. δεῖ καὶ ποιότησι (om. ceteris) V. 5 καὶ ἀλλοίωσις T. καὶ ἠλοίωσις V (corr. V[2]). 6 οὐ om. VU[1]. οὔτε οὖν] ὥστε V. 7 καθ' αὐτὴν V. 9 καὶ post εἶναι add. U[1] (del. U[2]). συναμφοτέρῳ Kroll] συναμφότερον codd. ἐν post. del.? 10 καὶ τὸ — ὑποκείμενον om. VU[1] (Q sub textu). 12 ὑποκείμενον Kroll] ὑπομένον O (ὑπομένων L). οἷς] ὧν O. 14 μένειν] μὲν V. 15 καὶ πάσχειν om. V. 16 τῷ ἐξ] τὸ ἐξ V. 17 καὶ τὸ ἀποθν. V.

πάσχειν κατὰ τοῦτο ἐν τῷ συνθέτῳ ἐκ ψυχῆς καὶ σώματος θεωρεῖται. οὐ μὴν καὶ τῇ ψυχῇ καὶ τοῦτο συμβαίνει, ὅτι οὐκ ἦν ἐξ ἀζωΐας καὶ ζωῆς συγκείμενον πρᾶγμα, ἀλλὰ ζωὴ μόνον. καὶ τοῦτο ἦν τῷ Πλάτωνι τὸ οὐσίαν εἶναι καὶ λόγον τῆς ψυχῆς τὸ αὐτοκίνητον.

O [XXIII] **XXII.** Ἡ νοερὰ οὐσία ὁμοιομερής ἐστιν, ὡς καὶ ἐν τῷ μερικῷ νῷ εἶναι τὰ ὄντα καὶ ἐν τῷ παντελείῳ. ἀλλ' ἐν μὲν τῷ καθόλου καὶ τὰ μερικὰ καθολικῶς, ἐν δὲ τῷ μερικῷ καὶ τὰ καθόλου καὶ μερικὰ μερικῶς.

O. Stob. (Ecl. I 49 p. 345). [XXIV] **XXIII.** Τῆς οὐσίας, ἧς ἐν ζωῇ τὸ εἶναι καὶ ἧς τὰ πάθη ζωαί, ταύτης καὶ ὁ θάνατος ἐν ποιᾷ ζωῇ κεῖται, οὐκ ἐν ζωῆς καθάπαξ στερήσει, ὅτι μηδὲ τὸ πάθος ἦν ὁδὸς εἰς τὴν παντελῆ ἀζωΐαν ἐπ' αὐτῆς.

O [XXV] **XXIV.** Ἐπὶ τῶν ζωῶν τῶν ἀσωμάτων αἱ πρόοδοι μενόντων τῶν προτέρων ἑδραίων καὶ βεβαίων γίνονται καὶ οὐ φθειρόντων τι αὐτῶν εἰς τὴν τῶν ὑπ' αὐτὰ ὑπόστασιν οὐδὲ μεταβαλλόντων· ὥστε οὐδὲ τὰ ὑφιστάμενα μετά τινος φθορᾶς ὑφίσταται ἢ μεταβολῆς, καὶ διὰ τοῦτο οὐδὲ γίνεται ὡς ἡ

---

ad. c. XXII cf. Plot. V 3,5, Procl. CLXXX.

ad. c. XXIV l. 14 πρόοδοι: cf. Plot. IV 8,6, Procl. XXX (εἰ γὰρ πᾶσα πρόοδος μενόντων γίνεται τῶν πρώτων).

l. 15 sqq. cf. Plot. V 2,2: πρόεισιν οὖν ἀπ' ἀρχῆς εἰς ἔσχατον καταλειπομένου ἀεὶ ἑκάστου ἐν τῇ οἰκείᾳ ἕδρᾳ, τοῦ δὲ γεννωμένου ἄλλην τάξιν λαμβάνοντος τὴν χείρονα.

---

1 κατὰ τοῦτο] καὶ τοῦτο Kroll τῷ om. T. 2 καὶ post. del. Holst. 3/4 ζωῆς καὶ μόνον. καὶ O. 4 ἦν Kroll] ἐν codd. τῷ ἁπλῆν οὐσ. εἶναι O(U²). 5 τὸ om. O. 9 καὶ μερικὰ delend. esse cens. Kroll. 10 ˀς οὐσ. F¹ (litt. in. pro rubr. om.) τῆς οὐσ. F²P 11 ζωαί] ζωή//// U ζωή Usener ζῶα F θῶα P. 12 καθάπαξ] καθάπερ Stob. τὸ πάθος] τὸ παθεῖν Wachsm. διὰ τοῦ πάθους Usener ὅτι μηδὲ πάθος ἢ ὁδός ἐστι πάντη πρὸς τὸ μὴ ζῆν ἡ ἀζωΐα ἡ ἐν αὐτῇ O (πρὸ τὸ μὴ ζῆν om. U¹ add. U²). 14 ζωῶν τῶν ex ζώντων U². ἀσωμάτων ex σωμάτων U². 15 γίνονται ex γίνεται U²Q². 16 ὑπόστασις T (-σιν N i. mg). 18 καὶ διὰ Kroll] οὐδὲ O. γίνεται] γενητὰ Kroll γινετὸν Holst. γενητὸν Creuz.

φθορᾶς μετέχουσα γένεσις καὶ μεταβολῆς. ἀγένητα ἄρα καὶ ἄφθαρτα καὶ ἀγενήτως καὶ ἀφθάρτως γεγονότα κατὰ τοῦτο.

XXV. Περὶ τοῦ ἐπέκεινα νοῦ κατὰ μὲν νόησιν πολλὰ V, O [XXVI] λέγεται, θεωρεῖται δὲ ἀνοησίᾳ κρείττονι νοήσεως, ὡς περὶ τοῦ καθεύδοντος διὰ μὲν ἐγρηγόρσεως πολλὰ λέγεται· τῷ γὰρ ὁμοίῳ τὸ ὅμοιον γινώσκεται, ὅτι πᾶσα γνῶσις τοῦ γνωστοῦ ὁμοίωσις.

XXVI. Μὴ ὂν τὸ μὲν γεννῶμεν χωρισθέντες τοῦ ὄντος, V, O [XXVII] τὸ δὲ προνοοῦμεν ἐχόμενοι τοῦ ὄντος, ὡς εἴγε χωρισθείημεν τοῦ ὄντος, οὐ προνοοῦμεν τὸ ὑπὲρ τὸ ὂν μὴ ὄν, ἀλλὰ γεννῶμεν ψευδὲς πάθος, τὸ μὴ ὂν συμβεβηκὸς περὶ τὸν ἐκστάντα ἑαυτοῦ. καὶ γὰρ αὐτὸς ἕκαστος, ᾧπερ ὄντως καὶ δι᾽ ἑαυτοῦ ἐνῆν ἀναχθῆναι ἐπὶ τὸ ὑπὲρ τὸ ὂν μὴ ὂν καὶ παραχθῆναι ἐπὶ τὸ κατάπτωμα τοῦ ὄντος μὴ ὄν.

XXVII. Οὐδὲν [πρὸς] τὸ ἀσώματον τὸ καθ᾽ αὑτὸ ἢ τοῦ V, O [XXVIII] σώματος ἐμποδίζει ὑπόστασις, πρὸς τὸ μὴ εἶναι ὅπου βούλεται καὶ ὡς θέλει. ὡς γὰρ τῷ σώματι τὸ ἄογκον ἄληπτον καὶ οὐδὲν πρὸς αὐτὸ, οὕτω τῷ ἀσωμάτῳ τὸ ἔνογκον καὶ ἀνεπιπρόσθητον καὶ ὡς μὴ ὂν κεῖται· οὐδὲ τοπικῶς διέρχεται τὸ ἀσώματον, ὅπου βούλεται (ὄγκῳ γὰρ συνυφίσταται τόπος)

---

ad. c. XXV. l. 1 sq.: cf. Procl. o. CXXIII *οὔτε δόξα ἔστι αὐτῶν* ⟨sc. *θεῶν*⟩ *οὔτε ἐπιστήμη καὶ διάνοια οὔτε νόησις.*
l. 3 sqq. cf. Jambl. de comm. math. scientia c. 8: *ἔστι δὲ καὶ τοῦτο ἀξίωμα κοινὸν περὶ πάσης γνωριστικῆς δυνάμεως ὡς τῷ ὁμοίῳ τὰ ὅμοια γιγνώσκεται.*
ad. c. XXVII et XXVIII cf. Plot. IV 3, 20 sqq.

---

3 *τοῦ νοῦ* V. 4 *λέγεται*: ε ex ον U². *κρεῖττον* T. *ὥσπερ ἐπὶ τοῦ* O (U²). 9 *προεννοοῦμεν* UL *προεννοοῦμεν* QRMN. 10/11 *γενῶμεν* T. 11 *μὴ ὂν* om. Holst. 12 *ᾧπερ* Kroll] *ὥσπερ* codd. de *ὄντως* dubito. 14 *τὸ* spat. 4. litt. *τωμα* V. *ὄντως* N i. mg. 15 *πρὸς* del. Kroll. 16 *ἐποδίζει* V. *μὴ* om. Q, erasit U². 17 *σώματι* om. M. *ἄληπτον* om. V. 18 *ἀποσωμάτῳ* T. *ἔνεγκον* T. 20 *συνυφίστατο* V *συνεφίσταται* T.

οὐδὲ στενοχωρεῖται ἀσώματον ὄν. τὸ γὰρ ὁπωσοῦν ἐν ὄγκῳ στενοχωρεῖσθαι ἠδύνατο καὶ τοπικῶς ἐποιεῖτο τὴν μετάβασιν, τὸ δ' ἄογκον παντελῶς καὶ ἀμέγεθες ὑπὸ τῶν ἐν ὄγκῳ ἀκράτητον τοπικῆς τε κινήσεως ἄμοιρον· διαθέσει τοίνυν ποιᾷ ἐκεῖ εὑρίσκεται, ὅπου καὶ διάκειται τόπῳ ὂν πανταχοῦ καὶ οὐδαμοῦ. διὸ ποιᾷ διαθέσει ἢ ὑπὲρ οὐρανὸν ἢ ἐν μέρει που τοῦ κόσμου κεκράτηται. ὅταν δὲ κρατηθῇ ἔν τινι μέρει τοῦ κόσμου, οὐκ ὀφθαλμοῖς ὁρᾶται, ἀλλ' ἐκ τῶν ἔργων αὐτοῦ φανερὰ ἡ παρουσία αὐτοῦ γίνεται.

V, O [XXIX] **XXVIII.** *Τὸ ἀσώματον ἂν ἐν σώματι κατασχεθῇ, οὐ συγκλεισθῆναι δεῖ, ὡς ἐν ζωγρείῳ θηρία. συγκλεῖσαι γὰρ αὐτὸ οὐδὲν οὕτω δύναται καὶ περιλαβεῖν σῶμα, [οὐδ'] ὡς ἀσκὸς ὑγρόν τι ἕλκειν ἢ πνεῦμα. ἀλλ' αὐτὸ δεῖ ὑποστῆσαι δυνάμεις ῥεπούσας ἀπὸ τῆς πρὸς αὐτὸ ἑνώσεως εἰς τὸ ἔξω, αἷς δὴ κατιὸν συμπλέκεται τῷ σώματι. δι' ἐκτάσεως οὖν ἀρρήτου τῆς ἑαυτοῦ ⟨οὐσίας⟩ ἡ εἰς σῶμα σύνερξις. διὸ οὐδ' ἄλλο αὐτὸ καταδεῖ, ἀλλ' αὐτὸ ἑαυτὸ, οὐδὲ λύει τοίνυν θραυσθὲν τὸ σῶμα καὶ φθαρὲν, ἀλλ' αὐτὸ ἑαυτὸ στραφὲν ἐκ τῆς προσπαθείας.*

---

l. 11 *ὡς ἐν ζωγρείῳ*: cf. *πρὸς Γαῦρον* XIV 4 *ἀγνοούντων ὅτι οὐχ ὡς χειρὶ ἢ δέσμῳ ἢ ὡς ζωγρίῳ κρατεῖται ἡ ψυχή, οὐδὲ γὰρ ὅλως ἡ ταύτης κράτησις σωματική* ... Plot. IV 3,20 *οὐ μὴν οὐδ' ὡς ἐν ἀγγείῳ ... οὐ γὰρ δὴ ὡς ἐν τῷ ἀμφοῖ τοῦ οἴνου ὁ οἶνος.* Nemes. de nat. hom. ed. Matthaei c. III § 58 p. 134 sq. *ἡ δὲ ψυχὴ ... μὴ περιγραφομένη τόπῳ ... οὐ γὰρ κρατεῖται ὑπὸ τοῦ σώματος οὐδὲ ἐν τῷ σώματί ἐστιν ὡς ἐν ἀγγείῳ ἢ ἀσκῷ.*

---

1 *ἀσώματον ὄν* correxi] *σωμάτων ὄντων* codd. *ὅπως οὖν* T. 2 *ἠδύνατο* VU¹Q i. mg]. *δύναται* O(U²). *ποιεῖσθαι* O(U²). 3 *ἐνόγκων* Kroll. 4 *τε* om. V. 8 *ἔργων τῇ παρουσίᾳ αὐτοῦ γίνεται* V. 9 *αὐτοῦ φανερὰ* add. U². 11 *δεῖ* Holst.] *δέοι* V *δέει* O. *ἐν ζωγρίῳ θηρίοις* V. 12 *οὐδ'* del. Kroll. 13 *ἕλκει* T. *ἀλλ' αὐτὸ*] *καὶ αὐτὰ* V. 14 *πρὸς αὐτὸ* Bouillet I p. LXIV adn. 4] *πρὸς αὐτὸ* O (praeter U¹ et M) *πρὸς αὐτὰ* VU¹M. 15 *κατιών* V. 16 *τῆς ἑαυτοῦ* om. Holst. *οὐσίας* add. Kroll. 17 *λύειν* T. 18 *ἑαυτὸ*] *αὐτὸ* V.

Stob. Ecl. I 49 p. 429 [XXXI]

XXIX. Ὥσπερ τὸ ἐπὶ γῆς εἶναι ψυχῇ ἐστιν οὐ τὸ γῆς ἐπιβαίνειν ὡς τὰ σώματα, τὸ δὲ προεστάναι σώματος, ὃ γῆς ἐπιβαίνει, οὕτως καὶ ἐν ᾅδου εἶναί ἐστι ψυχῇ, ὅταν προεστήκῃ εἰδώλου φύσιν μὲν ἔχοντος εἶναι ⟨ἐν⟩ τόπῳ, σκοτεινὴν δὲ τὴν ὑπόστασιν κεκτημένου· ὥστε εἰ ὁ ᾅδης ὁ ὑπόγειός ἐστι τόπος σκοτεινός, ἡ ψυχὴ καίπερ οὐκ ἀποσπωμένη τοῦ ὄντος ἐν ᾅδου γίγνεται ἐφελκομένη τὸ εἴδωλον. ἐξελθούσῃ γὰρ αὐτῇ τοῦ στερεοῦ σώματος τὸ πνεῦμα συνομαρτεῖ, ὃ ἐκ τῶν σφαιρῶν συνελέξατο. ἐκ δὲ τῆς πρὸς τὸ σῶμα προσπαθείας τὸν λόγον ἐχούσῃ τὸν μερικὸν προβεβλημένον, καθ' ὃν σχέσιν ἔσχε πρὸς τὸ ποιὸν σῶμα ἐν τῷ βιοῦν, ἐκ τῆς προσπαθείας ἐναπομόργνυται τύπος τῆς φαντασίας εἰς τὸ

---

ad. c. XXIX cf. Plot. IV 3,9 et 15.

l. 7. ἐφελκ. τὸ εἴδωλον: cf. πρὸς Γαῦρον XI 3 ἀλλ' εἴτε διὰ τὸ εἶναι ἐγκόσμιος ἐφέλκοιτό τι σῶμα αἰθερῶδες ἢ πνευματῶδες ἢ ἀερῶδες .. Porph. de antro nymph. ed. Nauck p. 64,15 καὶ τάς γε φιλοσωμάτους ὑγρὸν τὸ πνεῦμα ἐφελκομένας παχύνειν τοῦτο ὡς νέφος . . De phil. ex or. haur. ed. Wolff p. 150: ὅπου γὰρ πνεύματος πλείονος ὁλκή. Plot. I 1,12 χωρίζειν δὲ ἔοικεν ὁ ποιητὴς τοῦτο ἐπὶ τοῦ Ἡρακλέους τὸ εἴδωλον αὐτοῦ διδοὺς ἐν ᾅδου, αὐτὸν δὲ ἐν θεοῖς εἶναι. II 2,2 ἴσως δὲ καὶ παρ' ἡμῖν τὸ πνεῦμα τὸ περὶ τὴν ψυχὴν τοῦτο ποιεῖ.

l. 9. ὃ ἐκ τῶν σφ. σ.: cf. Porph. de phil. ex or. haur. ed. Wolff p. 160 πνεῦμα γὰρ τὸ κατιὸν καὶ ἀπόρροια ἐκ τῆς ἐπουρανίου δυνάμεως εἰς ὀργανικὸν σῶμα καὶ ἔμψυχον εἰσελθοῦσα, βάσει χρωμένη τῇ τε ψυχῇ·

l. 12. ἐναπομόργνυται τύπος: cf. πρὸς Γαῦρον VI 1 εἰ μὲν ἃ φανταζόμεθα εἰς τὰ αὐτῶν σώματα οἷόντε ἦμεν ἀπομόργνυσθαι, καθ' ὃ ἤδη λόγος κρατεῖ τοὺς δαίμονας τὰ εἴδη τῶν φαντασμάτων εἰς τὸ συνὸν ἢ παρακείμενον αὐτοῖς ἀερῶδες πνεῦμα

---

1 ψυχῇ Holst.] ψυχὴ codd, ψυχῆς Heeren. οὐ τὸ Holst.] οὐ τῷ P^2 οὕτω P^1F. 2 τὸ δὲ] τῷ δὲ P^2. 3 ὑπερβαίνει P. ψυχῇ Holst.] ψυχὴ codd. ψυχῆς Heeren. 3/4 προεστήκῃ Gaisford] προεστήκοι codd. προεστήκει Holst. 4 ἐν τόπῳ] τόπῳ F τῷ P. σκοτεινὴν Wachsm.] σκότει codd. σκοτιώδη Heeren. 5 εἰ] ἐπεὶ Wachsm. ὁ alterum om. F. 8 συνομαρτεῖ P^2] συναμαρτεῖ P^1F. 10 ἔχουσα Heeren. 11 ποιὸν Mein.] τοιόν codd.

πνεῦμα καὶ οὕτως ἐφέλκεται τὸ εἴδωλον. ἐν ᾅδου δὲ λέγεται, ὅτι τῆς ἀειδοῦς φύσεως ἐτύγχανε τὸ πνεῦμα καὶ σκοτεινῆς.

§ 2 ἐπεὶ δὲ διήκει τὸ βαρὺ πνεῦμα καὶ ἔνυγρον ἄχρι τῶν ὑπογείων τόπων, οὕτω καὶ αὕτη λέγεται χωρεῖν ὑπὸ γῆν, οὐχ ὅτι ἡ οὐσία αὐτὴ μεταβαίνει τόπους καὶ ἐν τόποις γίνεται, ἀλλ' ὅτι τῶν πεφυκότων σωμάτων τόπους μεταβαίνειν καὶ εἰληχέναι τόπον σχέσεις ἀναδέχεται, δεχομένων αὐτὴν κατὰ τὰς ἐπιτηδειότητας τῶν τοιούτων σωμάτων ἐκ τῆς κατ' αὐτὴν ποιᾶς διαθέσεως. ὡς γὰρ ἂν διατεθῇ, εὑρίσκει σῶμα τάξει καὶ τοῖς οἰκείοις διωρισμένον. διὸ καθαρώτερον μὲν διακειμένῃ σύμφυτον τὸ ἐγγὺς τοῦ ἀΰλου σῶμα, ὅπερ ἐστὶ τὸ αἰθέριον, προελθούσῃ δὲ ἐκ λόγου εἰς φαντασίας προβολὴν σύμφυτον τὸ ἡλιοειδές, θηλυνθείσῃ δὲ καὶ παθαινομένῃ πρὸς τὸ εἶδος παράκειται τὸ σεληνοειδές, πεσούσῃ δὲ εἰς σώματα, ὅταν κατὰ τὸ αὐτῆς ἄμορφον στῇ εἶδος, ἐξ ὑγρῶν ἀναθυμιάσεων συνεστηκότα, ἄγνοια ἕπεται τοῦ ὄντος τελεία καὶ σκότωσις καὶ νηπιότης.

§ 3 καὶ μὴν καὶ ἐν τῇ ἐξόδῳ ἔτι κατὰ τὴν δίυγρον ἀναθυ-

διαδεικνύναι . . . Porph. de abstin. ed. Nauck p. 168,7 οὐ γὰρ στερεὸν σῶμα περιβέβληνται οὐδὲ μορφὴν πάντες μίαν, ἀλλ' ἐν σχήμασι πλείοσιν ἐκτυπούμεναι αἱ χαρακτηρίζουσαι τὸ πνεῦμα αὐτῶν μορφαί. Porph. comm. in Odyss. ed. Schrader p. 130,21 ταῖς γὰρ ψυχαῖς κατὰ τὸν ποιητὴν τὰ τῶν ἄνω παθημάτων εἴδωλα καὶ κάτω διηνεκῶς ἐμφαντάζονται . . .

l. 19. κατὰ τὴν δίυγρον ἀναθυμίασιν: cf. Porph. de abstin. ed. Nauck p. 172,4 sq.: ζῇ γὰρ τοῦτο (πνευματικὸν καὶ σωματικὸν) ἀτμοῖς καὶ ἀναθυμιάσεσιν ποικίλως διὰ ποικίλου.

2 ἀΐδους Creuzer. 5 λεγέτου P[1]. 6 ἡ οὐσία αὐτή transposui] ἡ αὐτὴ οὐσία codd. ἡ ἄϋλος οὐσία Wachsm. 7 τῶν σωμάτων πεφυκότ. transp. Wachsm. 8 τόπον Kroll] τόπου codd. τόπους Canter. 9 τοιούτων om. Heeren. 10 διατεθῇ Mein.] διετέθη codd. 14 ἡλοειδές P. 15/16 πεσούσῃ correxi] πεσούσης codd.

μίασιν τὸ πνεῦμα ἔχουσα τεθολωμένον, σκιὰν ἐφέλκεται καὶ βαρεῖται, χωρεῖν σπεύδοντος τοῦ τοιούτου πνεύματος εἰς μυχὸν τῆς γῆς φύσει, ἂν μὴ ἄλλη τις αὐτὸ αἰτία ἀνθέλκῃ. ὥσπερ οὖν τὸ γεῶδες ὄστρεον περικειμένῃ ἀνάγκη ἐπὶ γῆς ἐνίσχεσθαι, οὕτω καὶ ὑγρὸν πνεῦμα ἐφελκομένῃ εἴδωλον περικεῖσθαι ἀνάγκη. ὑγρὸν δὲ ἐφέλκεται, ὅταν συνεχῶς μελετήσῃ ὁμιλεῖν τῇ φύσει, ἧς ἐν ὑγρῷ τὸ ἔργον καὶ ὑπόγειον μᾶλλον. ὅταν δὲ μελετήσῃ ἀφίστασθαι φύσεως, αὐγὴ ξηρὰ γίνεται, ἄσκιος καὶ ἀνέφελος. ὑγρότης γὰρ ἐν ἀέρι νέφος συνίστησι, ξηρότης δὲ ἀπὸ τῆς ἀτμίδος αὐγὴν ξηρὰν ὑφίστησιν.

(V, O) **XXX.** Τῶν μὲν ὅλων καὶ τελείων ὑποστάσεων οὐδεμία πρὸς τὸ ἑαυτῆς γέννημα ἐπέστραπται. πᾶσαι δὲ αἱ τέλειαι ὑποστάσεις πρὸς τὰ γεννήσαντά εἰσιν ἀνηγμέναι ἄχρι καὶ τοῦ κοσμικοῦ σώματος· τέλειον γὰρ ὂν ἀνῆκται πρὸς τὴν ψυχήν, νοερὰν οὖσαν, κύκλῳ διὰ τοῦτο κινούμενον. ἡ δὲ ψυχὴ αὐτοῦ πρὸς τὸν νοῦν, νοῦς δὲ πρὸς τὸ πρῶτον. διήκει τοίνυν ἐπὶ τοῦτο ἀπὸ τοῦ ἐσχάτου ἀρξάμενον, καθ' ὃ δύναται ἕκαστον· ἡ δὲ πρὸς τὸ πρῶτον ἀναγωγὴ προσεχὴς μέντοι ἢ πόρρωθεν. διὸ ταῦτα οὐκ ἐφίε-

---

l. 10 νέφος: cf. de antro nymph. p. 64,16 ὑγρὸν γὰρ ἐν ἀέρι παχυνθὲν νέφος συνίσταται.
ad. c. XXX cf Procl. XXXIII sqq.
l. 16. κύκλῳ: cf. Procl. c. XXXIII.
l. 19/20 cf. Procl. XI: ἀφ' ἧς (αἰτίας) ... πρόεισιν ἕκαστα τὰ μὲν ἐγγὺς ὄντα ἐκείνης, τὰ δὲποῤῥώτερον.

---

1 ἔχουσα Canter] ἐχούσῃ codd. 3 post τῆς γῆς F add. τὸ πνεῦμα. 7 et 8 μελετήσει F. 13 αὐτῆς V. 13/14 αἱ τέλειαι ὑποστ. om. V. 14 γεννήματα V. 15 καὶ τοῦτο post. ὂν praeb. S (U²). 16 καὶ ante κύκλῳ add. O. 18 διήκει τοίνυν ἐπὶ τούτων ἀπὸ V ἐπὶ add. U² τοῦτο/// U. 19 ἡ δὲ U²R ἡ καὶ T ἡ πρὸς VU¹QM. 20 προσεχῶς V. πορρωθέν ἐστι O.

σθαι μόνον τοῦ θεοῦ λέγοιτ' ἄν, ἀλλὰ καὶ ἀπολαύειν κατὰ δύναμιν.

§ 2 *ἐν δὲ ταῖς μεϱισταῖς ὑποστάσεσι καὶ τούτων ταῖς ἀτελέσι καὶ πρὸς πολλὰ ῥέπειν δυναμέναις ἔνεστι καὶ πρὸς τὰ γεννήματα ἐπιστρέφειν· ὅθεν καὶ ἐν ταύταις ἦν ἡ ἁμαρτία, ἐν ταύταις ἡ λελοιδορημένη ἀπιστία. ταύτας οὖν κακοῖ ἡ ὕλη τῷ ἐπιστρέφεσθαι ἐπ' αὐτὴν δύνασθαι δυναμένας ἐστράφθαι καὶ πρὸς τὸ θεῖον· ὥσθ' ἡ μὲν τελειότης ἀφίστησι τὰ πρότερα ἀπὸ τῶν δευτέρων, τηροῦσα αὐτὰ ἐπεστραμμένα πρὸς τὰ πρῶτα, τὸ δὲ ἀτελὲς στρέφει καὶ πρὸς τὰ ὕστερα τὰ πρῶτα καὶ φιλεῖν ταῦτα ποιεῖ τῶν πρὸ αὐτῶν ἀποστραφέντα.*

V, O **XXXI.** *Ὁ θεὸς πανταχοῦ ὅτι οὐδαμοῦ, καὶ ὁ νοῦς πανταχοῦ ὅτι οὐδαμοῦ, καὶ ἡ ψυχὴ πανταχοῦ ὅτι οὐδαμοῦ. ἀλλ' ὁ θεὸς μὲν πανταχοῦ καὶ οὐδαμοῦ τῶν μετ' αὐτὸν πάντων, αὐτοῦ δέ ἐστι μόνον ὡς ἔστι τε καὶ ἐθέλει. νοῦς δὲ ἐν μὲν θεῷ, πανταχοῦ δὲ καὶ οὐδαμοῦ τῶν μετ' αὐτόν. καὶ ψυχὴ καὶ ἐν νῷ καὶ ἐν θεῷ, πανταχοῦ* ⟨*δὲ*⟩ *καὶ οὐδαμοῦ ἐν σώματι. σῶμα δὲ καὶ ἐν ψυχῇ καὶ ἐν νῷ καὶ ἐν θεῷ. καὶ ὡς πάντα τὰ ὄντα καὶ οὐκ ὄντα ἐκ τοῦ θεοῦ καὶ ἐν θεῷ καὶ οὐκ αὐτὸς τὰ ὄντα καὶ οὐκ ὄντα καὶ ἐν αὐτοῖς*

---

ad. XXXI cf. Plot. III 9,3.
l. 21 sqq. *αὐτὸ μὲν γὰρ εἰ μόνον πανταχοῦ, αὐτὸ ἂν ἦν τὰ*

---

3 *καὶ τούτων ταῖς ἀτελέσι* om. O *ἀτελέσι* Kroll] *ἀπλέσι* V. 6 *ταύταις οὖν κακὸν* VU[1] *ταῦτ' οὖν κακοῖ* M 7 *τὸ ἐπιστρ.* V. *δυναμέναις* QRN 8 *καὶ* om. VU[1]. 8/9 *ὑφίστησι — ἀπὸ* O. *ἀφίστησι — ὑπὸ* V. 9 *τὰ πρότερα ἀπὸ τῶν δευτέρων* Kroll] *τὰ δεύτερα ἀπὸ τῶν προτέρων* codd. 11 *τὰ πρὸ αὐτῶν* O. *τὰ///* U. *πρὸς αὐτὸν* M. 13 *καὶ ὁ νοῦς π. ὅτι οὐδ.* om. VU[1]. 16 *αὐτοῦ* correxi] *αὐτοῦ* codd. *μόνον* U[2]M. *τε* om. T. 18 *ἐν θεῷ μὲν* S (U[2] hab. *μὲν* ante *θεῷ* eras. et post script.) *ἐν μὲν θῶ μὲν* T. *νῷ τε καὶ* O. *δὲ* add. Kroll. *ἐν τῷ σώματι* V. 19 *καὶ ἐν νῷ* om. Holst. 20 *οὐκ ὄντα*] *μὴ οὐκ ὄντα* V *μὴ ὄντα* O. 21 *θεῷ: καὶ ὡς πάντα τὰ ὄντα καὶ οὐκ ὄντα καὶ ἐν αὐτοῖς* V.

(εἰ μὲν γὰρ μόνον ἦν πανταχοῦ, αὐτὸς ἂν ἦν τὰ πάντα καὶ ἐν πᾶσιν. ἐπεὶ δὲ καὶ οὐδαμοῦ, τὰ πάντα μὲν γίνεται δι' αὐτοῦ καὶ ἐν αὐτῷ, ὅτι πανταχοῦ ἐκεῖνος, ἕτερα δὲ αὐτοῦ, ὅτι αὐτὸς οὐδαμοῦ), οὕτω καὶ νοῦς πανταχοῦ ὢν καὶ οὐδαμοῦ αἴτιος ψυχῶν καὶ τῶν μετ' αὐτάς, καὶ οὐκ αὐτὸς ψυχὴ οὔτε τὰ μετὰ ψυχὴν οὐδὲ ἐν τούτοις, ὅτι οὐκ ἦν μόνον πανταχοῦ τῶν μετ' αὐτόν, ἀλλὰ καὶ οὐδαμοῦ. καὶ ἡ ψυχὴ οὐ σῶμα οὔτε ἐν σώματι, ἀλλ' αἰτία σώματος, ὅτι πανταχοῦ οὖσα τοῦ σώματός ἐστιν οὐδαμοῦ. καὶ ἔστη γε ἡ πρόοδος τοῦ παντὸς εἰς τὸ μήτε πανταχοῦ ἅμα μήτε μηδαμοῦ εἶναι δυνάμενον, ἀλλ' ἀνὰ μέρος ἑκατέρων μετέχον.

XXXII. Περὶ ἀρετῶν.

V, S, Stob. (III 3 p. 89). [XXXIV]

Ἄλλαι αἱ ἀρεταὶ τοῦ πολιτικοῦ καὶ ἄλλαι αἱ τοῦ πρὸς θεωρίαν ἀνιόντος καὶ διὰ τοῦτο λεγομένου θεωρητικοῦ καὶ ἄλλαι αἱ τοῦ ἤδη τελείου θεωρητικοῦ καὶ ἤδη θεατοῦ καὶ ἄλλαι αἱ τοῦ νοῦ, καθὸ νοῦς καὶ ἀπὸ ψυχῆς καθαρός.

αἱ μὲν τοῦ πολιτικοῦ ἐν μετριοπαθείᾳ κείμεναι, τῷ ἕπεσθαι καὶ ἀκολουθεῖν τῷ λογισμῷ τοῦ καθήκοντος κατὰ τὰς πράξεις. διὸ πρὸς κοινωνίαν βλέπουσαι τὴν ἀβλαβῆ τῶν πλησίον ἐκ τοῦ συναγελασμοῦ καὶ τῆς κοινωνίας πολιτικαὶ λέγονται. καί ἐστι φρόνησις μὲν περὶ τὸ λογιζόμενον, § 2

πάντα. ἐπεὶ δὲ καὶ οὐδαμοῦ, γίνεται μὲν τὰ πάντα δι' αὐτοῦ, ὅτι πανταχοῦ ἐκεῖνος, ἕτερα δὲ αὐτοῦ, ὅτι αὐτὸς οὐδαμοῦ.
Procl. XCVIII πᾶν αἴτιον χωριστὸν πανταχοῦ ἐστιν ἅμα καὶ οὐδαμοῦ...
ad. c. XXXII cf. Plot. I 2.
l. 20 sqq. cf. Plot. I 2,1 ἢ οὐκ εὔλογον τάς γε πολιτικὰς λε-

---

1 μὲν om. VU¹. δ' ἂν R². 2 καὶ om. VU¹. πάντα μὲν S(U²) praeter M] μὲν om. VM. 2/3 δι' αὐτὰ V δι' αὐτὸν U¹. 5 μετ' αὐτὴν V. 6 μετὰ τὴν ψυχὴν V. 9 ἔστη] ἐστι O. 9/10 πρόδος L. 13 αἱ prius om. VS. τοῦ post. om. V. 14/15 καὶ ἄλλαι — θεωρητικοῦ om. VS. 15 ἤδη θεατοῦ] ἐνδιαθέτου A. 16 καθαροῦ Stob. 17 αἱ μὲν] ἐν μὲν V. μετριοπαθείᾳ τοῦ ἀλόγου Stob. 17/18 τὸ ἕπ. S. 20 καὶ om. S.

ἀνδρεία δὲ περὶ τὸ θυμούμενον, σωφροσύνη δὲ ἐν ὁμολογίᾳ καὶ συμφωνίᾳ ἐπιθυμητικοῦ πρὸς λογισμόν, δικαιοσύνη δὲ ἡ ἑκάστων τούτων ὁμοῦ οἰκειοπραγία ἀρχῆς πέρι καὶ τοῦ ἄρχεσθαι.

§ 3 *αἱ δὲ τοῦ πρὸς θεωρίαν προκόπτοντος θεωρητικοῦ ἐν ἀποστάσει κεῖνται τῶν ἐντεῦθεν. διὸ καὶ καθάρσεις αὗται λέγονται, ἐν ἀποχῇ θεωρούμεναι τῶν μετὰ τοῦ σώματος πράξεων καὶ συμπαθειῶν τῶν πρὸς αὐτό. αὗται μὲν γὰρ τῆς ψυχῆς ἀφισταμένης πρὸς τὸ ὄντως ὄν, αἱ δὲ πολιτικαὶ τὸν θνητὸν ἄνθρωπον κατακοσμοῦσι, καὶ πρόδρομοί γε αἱ πολιτικαὶ τῶν καθάρσεων· δεῖ γὰρ κοσμηθέντα κατ᾽ αὐτὰς ἀποστῆναι τοῦ σὺν σώματι πράττειν τι προηγουμένως. διὸ ἐν ταῖς καθάρσεσι τὸ μὲν μὴ συνδοξάζειν τῷ σώματι, ἀλλὰ μόνον ἐνεργεῖν ὑφίστησι τὸ φρονεῖν, ὃ διὰ τοῦ καθαρῶς νοεῖν τελειοῦται· τὸ δέ γε μὴ ὁμοπαθεῖν συνίστησι τὸ σω-*

γομένας ἀρετὰς ἔχειν, φρόνησιν μὲν περὶ τὸ λογιζόμενον, ἀνδρείαν δὲ περὶ τὸ θυμούμενον, σωφροσύνην δὲ ἐν ὁμολογίᾳ τινὶ καὶ συμφωνίᾳ ἐπιθυμητικοῦ πρὸς λογισμόν, δικαιοσύνην δὲ τὴν ἑκάστου τούτων ὁμοῦ οἰκειοπραγίαν ἀρχῆς πέρι καὶ τοῦ ἄρχεσθαι.

l. 9 sq. cf. I 2,2 *αἱ μὲν τοίνυν πολιτικαὶ ἀρεταὶ ... κατακοσμοῦσι μὲν ὄντως ...*

l. 13 sqq. cf. I 2,3 *εἴη ἂν ἀγαθὴ (ψυχή) καὶ ἀρετὴν ἔχουσα, εἰ μήτε συνδοξάζοι, ἀλλὰ μόνη ἐνεργοῖ, ὅπερ ἐστὶ νοεῖν τε καὶ φρονεῖν. μήτε ὁμοπαθὴς εἴη, ὅπερ ἐστὶ σωφρονεῖν. μήτε φοβοῖτο ἀφισταμένη τοῦ σώματος, ὅπερ ἐστὶν ἀνδρίζεσθαι. ἡγοῖτο δὲ λόγος καὶ νοῦς, τὰ δὲ μὴ ἀντιτείνοι· δικαιοσύνη δ᾽ ἂν εἴη τοῦτο. τὴν δὴ τοιαύτην διάθεσιν τῆς ψυχῆς, καθ᾽ ἣν νοεῖ τε καὶ ἀπαθὴς οὕτως ἐστίν, εἴ τις ὁμοίωσιν λέγοι πρὸς θεόν, οὐκ ἂν ἁμαρτάνοι.*

---

1 *ἀνδρία* Stob. 1/2 *ἐν ὁμολογίᾳ — δικαιοσύνη δὲ* om. Stob. *ἐπιθυμητικῶν* S. 3 *ἑκάστῳ* S *ἑκάστου* Stob. 5 *θεωρητικοῦ* om. S. 6 *τῶν ἐνταῦθα* Gesner. 7 *τῶν* om. V. *τῶν τοῦ σώματος* BrM[d] *τῶν μι τοῦ σώματος* A. 10 *κατακοσμοῦσαι* VS. *καὶ πρ. γε* V] *καὶ — τε* S *καὶ — δὲ* Stob. 12 *σὺν τοῖς σώμασι* S *σὺν τῷ σώματι* Wachsm. 13 *δοξάζειν* S. 14 *μόνην* M[d]. 15 *ὁμοιοπαθεῖν* S.

φρονεῖν, τὸ δὲ μὴ φοβεῖσθαι, ἀφισταμένην τοῦ σώματος ὡς εἰς κενόν τι καὶ μὴ ὄν, τὴν ἀνδρείαν, ἡγουμένου δὲ λόγου καὶ νοῦ καὶ μηδενὸς ἀντιτείνοντος ἡ δικαιοσύνη. ἡ μὲν οὖν κατὰ τὰς πολιτικὰς ἀρετὰς διάθεσις ἐν μετριοπαθείᾳ θεωρεῖται τέλος ἔχουσα τὸ ζῆν ὡς ἄνθρωπον κατὰ φύσιν, ἡ δὲ κατὰ τὰς θεωρητικὰς ἐν ἀπαθείᾳ, ἧς τέλος ἡ πρὸς θεὸν ὁμοίωσις. ἐπεὶ δὲ καὶ κάθαρσις ἡ μέν τις ἦν καθαίρουσα ἡ δὲ κεκαθαρμένων, αἱ καθαρτικαὶ ἀρεταὶ κατ' ἄμφω θεωροῦνται τὰ σημαινόμενα τῆς καθάρσεως· καθαίρουσί τε γὰρ τὴν ψυχὴν καὶ καθαρθείσῃ σύνεισι. τέλος γὰρ τὸ κεκαθάρθαι τοῦ καθαίρειν. ἀλλ' ἐπεὶ τὸ καθαίρειν τε καὶ κεκαθάρθαι ἀφαίρεσις ἦν παντὸς τοῦ ἀλλοτρίου, τὸ ἀγαθὸν ἕτερον ἂν εἴη τοῦ καθήραντος· ὡς εἴγε πρὸ τῆς ἀκαθαρσίας ἀγαθὸν ἦν τὸ καθαιρόμενον, ἡ κάθαρσις ἤρκει. ἀλλ' ἀρκέσει μὲν ἡ κάθαρσις, τὸ δὲ καταλειπόμενον ἔσται τὸ ἀγαθὸν καὶ οὐχ ἡ κάθαρσις. ἀλλ' ἡ ψυχῆς φύσις οὐκ ἦν ἀγαθόν, ἀλλ' ἀγαθοῦ μετέχειν δυνάμενον καὶ ἀγαθοειδές.

---

l. 6/7 *ἡ πρὸς θεὸν ὁμοίωσις*: cf. Porph. de abstin. ed Nauck p. 225,7 *τοῦ δ' ὁμοιοῦσθαι θεῷ ὄντος τέλους ὡς ἔνι μάλιστα* ...
l. 10 sqq. *τέλος*: cf. I 2,4 *ἡ γοῦν ἐν τῷ καθαίρεσθαι ἀτελεστέρα τῆς ἐν τῷ κεκαθάρθαι, τὸ γὰρ κεκαθάρθαι οἷον τέλος ἤδη. ἀλλὰ τὸ κεκαθάρθαι ἀφαίρεσις ἀλλοτρίου παντός, τὸ δὲ ἀγαθὸν ἕτερον αὐτοῦ. ἢ εἰ πρὸ τῆς καθάρσεως ἀγαθὸν ἦν, ἀρκέσει μὲν ἡ κάθαρσις, τὸ δὲ καταλειπόμενον ἔσται τὸ ἀγαθόν, οὐχ ἡ κάθαρσις. καὶ τί τὸ καταλειπόμενόν ἐστι ζητητέον. ἴσως γὰρ οὐδὲ τὸ ἀγαθὸν ἦν ἡ φύσις ἡ καταλειπομένη· οὐ γὰρ ἂν ἐγένετο ἐν κακῷ. ἆρ' οὖν ἀγαθοειδῆ λεκτέον; ... τὸ οὖν ἀγαθὸν αὐτῆς τὸ συνεῖναι τῷ συγγενεῖ, τὸ δὲ κακὸν τὸ τοῖς ἐναντίοις.*

---

1 *ἀφιστάμενον* V. 2 *κενὸν*] *καινὸν* S. 3 *ἡ* prius om. Stob. *δικαιοσύνη τὸ τοιοῦτον* Stob. 6 *ἡ* post.om. VS. 7 *καὶ* om. Stob. 7/8 *καθαρεύουσα* VS. 10 *καθαρθείσῃ* Gaisf.] *καθάρσει* VS. *καθαρθείσης* Stob. 11 *τε* om. S Stob. 12 *ἦν*] *ὢν* S. *τοῦ* om. S. 13 *καθήραντος* S (ex *καθαίροντος* U[2])] *καθήρητος* V *καθάραντος* Stob. *καθαίροντος* Gaisf. *ὥστε γε* Stob. 14 *καθαιρούμενον* S. *ἡ κάθαρσις* om. Stob. *ἀρκεῖ* Stob. *ἀρέσκει* Holst. 16 *καὶ* om. S. *ἡ* post. om. V.

οὐ γὰρ ἂν ἐγένετο ἐν κακῷ. τὸ οὖν ἀγαθὸν αὐτῇ ἐν τῷ συνεῖναι τῷ γεννήσαντι, κακία δὲ τὸ τοῖς ὑστέροις. καὶ διπλῆ γε κακία· τό τε τούτοις συνεῖναι καὶ μετὰ παθῶν ὑπερβολῆς. διὸ πᾶσαι αἱ πολιτικαὶ ἀρεταί, μιᾶς γοῦν αὐτὴν κακίας ἀπαλλάττουσαι, ἀρεταὶ ἐκρίθησαν καὶ τίμιαι. αἱ δὲ καθαρτικαὶ τιμιώτεραι καὶ τῆς ὡς ψυχῆς κακίας ἀπαλλάττουσαι· δεῖ τοίνυν καθηραμένην αὐτὴν συνεῖναι τῷ γεννήσαντι. καὶ ἀρετὴ ἄρα αὐτῆς μετὰ τὴν ἐπιστροφὴν αὕτη, ἥπερ ἐστὶν ἐν γνώσει καὶ εἰδήσει τοῦ ὄντος, οὐχ ὅτι οὐκ ἔχει παρ' αὐτῇ ταύτην, ἀλλ' ὅτι ἄνευ τοῦ πρὸ αὐτῆς οὐχ ὁρᾷ τὰ αὐτῆς.

§ 4 *ἄλλο οὖν γένος τρίτον ἀρετῶν μετὰ τὰς καθαρτικὰς καὶ πολιτικὰς, νοερῶς τῆς ψυχῆς ἐνεργούσης. σοφία μὲν καὶ φρόνησις ἐν θεωρίᾳ, ὧν νοῦς ἔχει, δικαιοσύνη δὲ οἰκειοπραγία ἐν τῇ πρὸς τὸν νοῦν ἀκολουθίᾳ καὶ τῷ πρὸς τὸν νοῦν ἐνεργεῖν, σωφροσύνη δὲ ἡ εἴσω πρὸς νοῦν στροφή, ἡ δὲ ἀνδρεία ἀπάθεια καθ' ὁμοίωσιν τοῦ πρὸς ὃ βλέπει, ἀπαθὲς ὂν τὴν φύσιν. καὶ ἀντακολουθοῦσί γε αὗται ἀλλήλαις, ὥσπερ καὶ αἱ ἄλλαι.*

---

l. 12 sqq. cf. I 2,6 *τίς οὖν ἑκάστη ἀρετὴ τῷ τοιούτῳ; ἢ σοφία μὲν καὶ φρόνησις ἐν θεωρίᾳ ὧν νοῦς ἔχει ... δικαιοσύνη δὲ εἴπερ οἰκειοπραγία ... ὥστε καὶ τῇ ψυχῇ δικαιοσύνη ἡ μείζων τὸ πρὸς νοῦν ἐνεργεῖν, τὸ δὲ σωφρονεῖν ἡ εἴσω πρὸς νοῦν στροφή, ἡ δὲ ἀνδρεία ἀπάθεια καθ' ὁμοίωσιν τοῦ πρὸς ὃ βλέπει ἀπαθὲς ὂν τὴν φύσιν.* perg. I 2,7 *ἀντακολουθοῦσι τοίνυν ἀλλή-*

---

1 *αὐτῇ*] *αὐτῆς* Wachsm. 4 *διόπερ αἱ πολιτικαὶ* Stob. 5 *ἐκλήθησαν* S. *τίμιοι* S. 6 *ὡς ψυχῆς κακίας* V] *ὡς ψυχὴν κ.* S *ὡς ψυχικῆς κακίας* M[d] Br. *ὡς ψυχὴν κακίαν* Holst. 8/9 *αὕτη, ἥπερ ἐστὶν*] *αὐτὴ πάρεστιν* S *αὐτῇ πάρεστιν* V. 9 *ὅτι — ἀλλ'* om. VS. 10/11 *οὐχ ὁρᾷ τὰ αὐτῆς* om. VS. 12 *ἀλλ' οὖν γένος* M[d] A. 13 *τὰς πολιτικὰς* Stob. 14 *δικαιος. δὲ ἐν οἰκειοπραγίᾳ μὲν ἐν τῇ* Stob. 15 *δὲ* post *νοῦν* add. Bücheler. *τῷ*] *τὸ* VS. *τὸν* post. om. M[d] Br. 16 *ἡ* prius om. VS. 19 *αἱ* om. S Stob.

Τέταρτον δὲ εἶδος ἀρετῶν, τὸ τῶν παραδειγματικῶν, αἵπερ ἦσαν ἐν τῷ νῷ, κρείττους οὖσαι τῶν ψυχικῶν καὶ τούτων παραδείγματα, ὧν αἱ τῆς ψυχῆς ἦσαν ὁμοιώματα. νοῦς μὲν ἐν ᾧ ἅμα πάντα ὥσπερ παραδείγματα, ἐπιστήμη δὲ ἡ φρόνησις, σοφία δὲ γινώσκων ὁ νοῦς, τὸ δὲ πρὸς αὐτὸν ἡ σωφροσύνη, τὸ δὲ οἰκεῖον ἔργον ἡ οἰκειοπραγία, ἡ δὲ ἀνδρεία ἡ ταυτότης καὶ τὸ ἐφ' ἑαυτοῦ μένειν καθαρὸν διὰ δυνάμεως περιουσίαν. § 5

Τέτταρα τοίνυν ἀρετῶν γένη πέφηνεν, ὧν αἱ μὲν ἦσαν τοῦ νοῦ, αἱ παραδειγματικαὶ καὶ σύνδρομοι αὐτοῦ τῇ οὐσίᾳ, αἱ δὲ ψυχῆς ὡς ψυχῆς πρὸς νοῦν ἐνορώσης ἤδη καὶ πληρουμένης ἀπ' αὐτοῦ, αἱ δὲ ψυχῆς ἀνθρώπου καθαιρομένης τε καὶ καθαρθείσης ἀπὸ σώματος καὶ τῶν ἀλόγων παθῶν, αἱ δὲ ψυχῆς ἀνθρώπου κατακοσμούσης τὸν ἄνθρωπον διὰ τοῦ τὰ μέτρα τῇ ἀλογίᾳ ἀφορίζειν καὶ μετριοπάθειαν ἐνεργάζεσθαι. καὶ ὁ μὲν ἔχων τὰς μείζους ἐξ ἀνάγκης ἔχει καὶ τὰς ἐλάττους, οὐ μὴν τοὔμπαλιν. οὐκέτι μέντοι τῷ ἔχειν καὶ τὰς ἐλάττους ὁ ἔχων τὰς μείζους ἐνεργήσει § 6

λαις καὶ αὗται αἱ ἀρεταὶ ἐν ψυχῇ, ὥσπερ κἀκεῖ τὰ πρὸ τῆς ἀρετῆς ἐν νῷ ὥσπερ παραδείγματα. καὶ γὰρ ἡ νόησις ἐκεῖ ἐπιστήμη καὶ σοφία, τὸ δὲ πρὸς αὐτὸν ἡ σωφροσύνη, τὸ δὲ οἰκεῖον ἔργον ἡ οἰκειοπραγία, τὸ δὲ οἷον ἀνδρεία ἡ ταυτότης καὶ τὸ ἐφ' αὐτοῦ μένειν καθαρόν.

l. 16 sq. cf. I 2,7 καὶ ὁ μὲν ἔχων τὰς μείζους καὶ τὰς ἐλάττους ἐξ ἀνάγκης δυνάμει, ὁ δὲ τὰς ἐλάττους οὐκ ἀναγκαίως ἔχει ἐκείνας.

---

1 παραδειγμάτων VS 3 ὧν αἱ Kroll] ὧν καὶ VS. ὧν αἱ. — ἅμα πάντα om. Stob. 4 ἅμα πάντα Holst.] ἅμα τὰ VS ἅπαντα Hense. 5 φρόνησις] νόησις Stob. 6 δικαιοσύνη post ἔργον inser. Heeren. 8 περιουσίας Holst. 9 ὧν om. Stob. 10 αἱ τοῦ νοῦ Stob. 11 ὡς ψυχῆς om. Stob. 12 ὡς ψυχῆς S. 15 διὰ τὸ μέτρα VS. 16 ἐργάζεσθαι VS. 17 τοὔμπαλιν] καὶ ἔμπαλιν Stob. 18 τὸ ἔχειν SA ἔχει τὰς ἐλάττους ὁ ἔχων M[d] καὶ εἰ ἔχει τὰς ἐλ. ὁ μὴ ἔχων Br (sed ὁ μὴ in ras.)

καὶ κατὰ τὰς ἐλάττους προηγουμένως, ἀλλὰ μόνον κατὰ περίστασιν τὴν τῆς γενέσεως.

§ 7 *ἄλλοι γὰρ οἱ σκοποί, ὥσπερ εἴρηται, καὶ κατὰ γένος διαφέροντες. τῶν μὲν γὰρ πολιτικῶν, μέτρον ἐπιθεῖναι τοῖς πάθεσι πρὸς τὰς ἐν τοῖς κατὰ φύσιν ἐνεργείας, τῶν δὲ καθαρτικῶν τελέως τῶν παθῶν ἀποστῆσαι τῶν τέως μέτρον λαμβανόντων, τῶν δὲ πρὸς νοῦν ἐνεργῆσαι μηδὲ τοῦ ἀποστῆσαι ἐκ τῶν παθῶν εἰς ἔννοιαν ἀφικνουμένους, τῶν δὲ μὴ πρὸς νοῦν ἐχουσῶν τὴν ἐνέργειαν, ἀλλὰ τῇ αὐτοῦ οὐσίᾳ εἰς συνδρομὴν ἀφιγμένων. διὸ καὶ ὁ μὲν κατὰ τὰς πρακτικὰς ἐνεργῶν σπουδαῖος ἦν ἄνθρωπος, ὁ δὲ κατὰ τὰς καθαρτικὰς δαιμόνιος ἄνθρωπος ἢ καὶ δαίμων ἀγαθός, ὁ δὲ κατὰ μόνας τὰς πρὸς τὸν νοῦν θεός, ὁ δὲ κατὰ τὰς παραδειγματικὰς θεῶν πατήρ. ἐπιμελητέον οὖν μάλιστα τῶν καθαρτικῶν ἡμῖν σκεψαμένοις, ὅτι τούτων μὲν ἡ τεῦξις ἐν τῷ βίῳ τούτῳ, διὰ τούτων δὲ καὶ ἡ εἰς τὰς τιμιωτέρας ἄνοδος. διὸ θεωρητέον, ἄχρι τίνος καὶ ἐπὶ πόσον οἷά τε παραλαμβάνεσθαι ἡ κάθαρσις· ἔστι μὲν γὰρ ἀπόστασις σώματος*

---

l. 10 sqq. cf. I 2,7 *οἷον τὸ σωφρονεῖν οὐκ ἐν μέτρῳ τιθείς, ἀλλ' ὅλως . . . ζῶν οὐχὶ τὸν ἀνθρώπου βίον τὸν τοῦ ἀγαθοῦ, ὃν ἀξιοῖ ἡ πολιτικὴ ἀρετή, ἀλλὰ τοῦτον μὲν καταλιπών, ἄλλον δὲ ἑλόμενος τὸν τῶν θεῶν . . .* I 2,6 *εἰ μὲν οὖν τι τῶν τοιούτων ἀπροαίρετον γίγνοιτο θεὸς ἂν εἴη, ὁ τοιοῦτος καὶ δαίμων διπλοῦς ὢν . . . εἰ δὲ μηδέν, θεὸς μόνον.*

---

1 *καὶ* om. VS. 2 *τὴν* om. Stob. 3 *ἄλλοι γὰρ οἱ* om. S. 4 *διαφέρονται* S *διάφοροι* Stob. *μὲν* om. S. 5 *πρὸς τὰς πρακτικὰς τῆς κατὰ φύσιν* S. 6 *ἀποστῆσαι* — 8 *τῶν παθῶν* om. VS. *τῶν τέως* Kroll] *τὸ τέως* codd. 7 *λαμβανόντων* Kroll] *λαμβάνον* M[d] Br *λαμβάνων* A *λαμβανουσῶν* Buecheler. 8 *ἀφικνουμένους*] *ἐρχομένους* Stob. 8/9 *τῶν δὲ μὴ*] *τῶν δὲ λοιπῶν ἀναλόγως τοῖς εἰρημένοις* S. 9 *μὴ*] *μηδὲν* Stob. *μηδὲ* Gaisford. 10 *καὶ* om. M[d]Br. 12 *δαιμόνιος ἦν ἄνθρωπος* Stob. 13 *κατὰ* prius om. S. *τὸν* om. Creuz. 17 *ἐπὶ* om. Stob. 17/18 *περιλαμβ.* V. 18 *ἐν ἀποστάσει* Stob.

καὶ τῆς ἀλόγου παθητικῆς κινήσεως. πῶς δ' ἂν γένοιτο καὶ μέχρι τίνος, ῥητέον.

Πρῶτον μὲν οἷον θεμέλιος καὶ ὑποβάθρα τῆς καθάρσεως, τὸ γνῶναι ἑαυτὸν ψυχὴν ὄντα ἐν ἀλλοτρίῳ πράγματι καὶ ἑτερουσίῳ συνδεδεμένην. § 8

Δεύτερον δὲ τὸ ἀπὸ τούτου ὁρμώμενον τοῦ πείσματος συνάγειν αὑτὸν ἀπὸ τοῦ σώματος καὶ τοῖς μὲν τόποις πάντως γε μὴν ἀπαθῶς πρὸς αὐτὸ διατιθέμενον. ἐνεργῶν μὲν γάρ τις συνεχῶς κατ' αἴσθησιν, κἂν μὴ μετὰ προσπαθείας καὶ τῆς τοῦ ἥδεσθαι ἀπολαύσεως τοῦτο ποιῇ, ἀλλ' οὖν ἐσκέδασται περὶ τὸ σῶμα, συναφῆς αὐτῷ κατὰ ταύτην γινόμενος, προσπάσχων δὲ ταῖς τῶν αἰσθητῶν ἡδοναῖς ἢ λύπαις σὺν προθυμίᾳ καὶ ἐπινεύσει συμπαθεῖ. ἀφ' ἧς δὴ μάλιστα διαθέσεως αὑτὸν προσήκει καθαίρειν. τοῦτο δ' ἂν γένοιτο, εἰ καὶ τὰς ἀναγκαίας τῶν ἡδονῶν [καὶ τὰς] αἰσθήσεις ἰατρείας ἕνεκα § 9

---

l. 7 sq. cf. I 2,5 *ἀπὸ μὲν δὴ σώματος ἴσως μὲν καὶ τοῖς οἷον τόποις συνάγουσαν ἑαυτήν, παντῶς γε μὴν ἀπαθῶς ἔχουσαν ...*

l. 15 sqq. cf. I 2,5 *καὶ τὰς ἀναγκαίας τῶν ἡδονῶν αἰσθήσεις μόνον ποιουμένην καὶ ἰατρεύσεις καὶ ἀπαλλαγὰς πόνων, ἵνα μὴ ἐνοχλοῖτο, τὰς δὲ ἀλγηδόνας ἀφαιροῦσαν καί, εἰ μὴ οἷόντε, πρᾴως φέρουσαν καὶ ἐλάττους τιθεῖσαν τῷ μὴ συμπάσχειν. τὸν δὲ θυμὸν ὅσον οἷόντε ἀφαιροῦσαν καί, εἰ δυνατόν, πάντη, εἰ δὲ μή, μὴ γοῦν αὐτὴν συνοργιζομένην, ἀλλ' ἄλλου εἶναι τὸ ἀπροαίρετον, τὸ δὲ ἀπροαίρετον ὀλίγον εἶναι καὶ ἀσθενές· τὸν δὲ φόβον πάντη (περὶ οὐδενὸς γὰρ φοβήσεται· τὸ δὲ ἀπροαίρετον καὶ ἐνταῦθα) πλήν γε ἐν νουθετήσει. ἐπιθυμία δέ, ὅτι μὲν οὐ-*

---

2 *ἄχρι* Stob. 4 *ἀλλοτρίῳ τῷ* Stob. *τῳ* Buecheler. *πράγματι*] *σώματι* A sed lin. infra *σώματι* add. et *πράγματι* suprasc. A[1] et Br[1], sed litt. *σω* in ras. atramento pallidiore. 5 *συνδεδεμένον* V Stob. 6 *δὲ* om. Holst. *πείσματος*] *πιέσματος* VS *πήγματος* Raderm. 7 *συναγαγεῖν* Stob. *τοῖς οἷον τόποις* Holst. 9 *συνεχῶς τις* Stob. *κἂν μὴ*] *εἰ καὶ μὴ* Stob. 10 *ποιῇ*] *ποιεῖ* S Stob. 11 *ὁ περὶ τὸ σῶμα* VS. *κατ' αὐτὴν* VS. 12 *προσπάσχομεν* S. *αἰσθημάτων* Stob. 13 *δὴ*] *δὲ* VS. 14 *δ' ἂν*] *δὴ ἂν* VS. 15 *καὶ τὰς* ante *αἰσθήσεις* delevi.

μόνον τις παραλαμβάνοι ἢ ἀπαλλαγῆς πόνων, ἵνα μὴ ἐμποδίζοιτο. ἀφαιρετέον δὲ καὶ τὰς ἀλγηδόνας· εἰ δὲ μὴ οἷόντε εἴη, πρᾴως οἰστέον ἐλάττω τιθέντα τῷ μὴ συμπάσχειν. τὸν δὲ θυμὸν ὅσον οἷόντε ἀφαιρετέον καὶ μὴ μελετητέον πάντῃ· εἰ δὲ μή, μὴ αὐτὸν γοῦν συναναμιγνύναι τὴν προαίρεσιν, ἀλλ' ἄλλου εἶναι τὸ ἀπροαίρετον· τὸ δ' ἀπροαίρετον ἀσθενὲς καὶ ὀλίγον. τὸν δὲ φόβον πάντῃ (περὶ οὐδενὸς γὰρ φοβήσεται. τὸ δ' ἀπροαίρετον καὶ ἐνταῦθα). χρηστέον δὲ ἄρα καὶ θυμῷ καὶ φόβῳ ἐν νουθετήσει, ἐπιθυμίαν δὲ παντὸς φαύλου ἐξοριστέον, σίτων δὲ καὶ ποτῶν οὐκ αὐτὸς ἕξει, ἧπερ αὐτός, ἀφροδισίων δὲ τῶν φυσικῶν οὐδὲ τὸ ἀπροαίρετον ⟨ἐχουσῶν⟩, εἰ δ' ἄρα, ὅσον μέχρι φαντασίας προπετοῦς τῆς κατὰ τοὺς ὕπνους. ὅλως δὲ αὐτὴ μὲν πάντων ἡ ψυχὴ ἡ νοερὰ τοῦ καθαιρομένου τούτων ἔστω καθαρά. βουλέσθω δὲ καὶ τὸ κινούμενον πρὸς τὸ ἄλογον τῶν σωματικῶν παθῶν ἀσυμπαθῶς κινεῖσθαι καὶ

δενὸς φαύλου, δῆλον. σίτων δὲ καὶ ποτῶν πρὸς ἄνεσιν οὐκ αὐτὴ ἕξει, οὐδὲ τῶν ἀφροδισίων δέ, εἰ δ' ἄρα, φυσικῶν, οἶμαι, καὶ οὐδὲ τὸ ἀπροαίρετον ἐχουσῶν· εἰ δ' ἄρα ὅσον μέχρι φαντασίας προπετοῦς καὶ ταύτης. ὅλως δὲ αὐτὴ μὲν πάντως τούτων καθαρὰ ἔσται καὶ τὸ ἄλογον δὲ βουλήσεται καὶ αὐτὸ καθαρὸν ποιῆσαι, ὥστε μηδὲ πλήττεσθαι· εἰ δ' ἄρα, μὴ σφόδρα, ἀλλ' ὀλίγας τὰς πληγὰς αὐτοῦ εἶναι καὶ εὐθὺς λυομένας τῇ γειτνιάσει ... οὔκουν ἔσται μάχη. ἀρκεῖ γὰρ παρὼν ὁ λόγος, ὃν τὸ χεῖρον αἰδέσεται, ὥστε καὶ αὐτὸ τὸ χεῖρον δυσχερᾶναι, ἐάν τι ὅλως κινηθῇ, ὅτι μὴ ἡσυχίαν ἦγε παρόντος τοῦ δεσπότου καὶ ἀσθένειαν αὐτῷ ἐπιτιμῆσαι.

---

1 *τις* om. V. *παραλαμβάνει* S. *ἀπαλλαγὴ* S *ἀπαλλαγὴν* Holst. 3 *πρᾴως ὑστερεῖν ἀλλ' ἐλαττωθέντα τῷ μὴ συμπάσχειν* VS. 4 *ὡς οἷόντε* Stob. *μὴ* om. Stob. 5 *μὴ* prius om. Stob. *αὐτῷ γοῦν* Stob. 6 *ἀλλ'* om. VS. 7 *τόν τε* VS. *πάντα* S. *περὶ* om. S. 10 *σιτίων* S. 11 *εἴπερ* V. 12 *ἐχουσῶν* addidi ex Plotino dubitanter. 14 *ἡ* prius om. Stob. 15 *βούλεσθαι* V. 16 *τῶν* om. V. *συμπαθῶς* V.

ἀπροσέκτως, ὥστε καὶ τὰς κινήσεις εὐθὺς λύεσθαι τῇ γειτνιάσει τοῦ λογιζομένου. οὐκ ἔσται τοίνυν μάχη προκοπτούσης τῆς καθάρσεως, ἀλλὰ λοιπὸν παρὼν ὁ λόγος ἀρκέσει, ὃν τὸ χεῖρον αἰδέσεται, ὥστε καὶ αὐτὸ τὸ χεῖρον δυσχερᾶναι, ἂν ὅλως κινηθῇ, ὅτι μὴ ἡσυχίαν ἦγε παρόντος τοῦ δεσπότου, καὶ ἀσθένειαν ἑαυτῷ ἐπιτιμῆσαι· καὶ αὗται μὲν ἔτι μετριοπάθειαι ἐπίτασιν εἰς ἀπάθειαν λαμβάνουσαι. ὅταν δὲ παντελῶς τὸ συμπαθὲς ἐκκαθαρθῇ, σύνεστι τούτῳ τὸ ἀπαθές, ὅτι καὶ τὸ πάθος τὴν κίνησιν ἐλάμβανε τοῦ λογισμοῦ τὸ ἐνδόσιμον διὰ τῆς ῥοπῆς παρεσχηκότος.

XXXIII. Ἕκαστον κατὰ τὴν ἑαυτοῦ φύσιν ἔστι που, εἰ S [XXXV]
ὅλως ἔστι που, οὐ μέντοι παρὰ τὴν φύσιν. σώματι μὲν οὖν ἐν ὕλῃ καὶ ὄγκῳ ὑφεστῶτι τὸ εἶναί πού ἐστι τὸ ἐν τόπῳ εἶναι. διὸ καὶ τῷ σώματι τοῦ κόσμου, ἐνύλῳ καὶ ἐνόγκῳ ὄντι, τὸ πανταχοῦ εἶναι ὑπῆρξεν ἐν διαστάσει τε καὶ τόπῳ διαστάσεως· τῷ δὲ νοητῷ κόσμῳ καὶ ὅλως τῷ ἀύλῳ καὶ καθ' αὑτὸ ἀσωμάτῳ, ἀόγκῳ ὄντι καὶ ἀδιαστάτῳ, οὐδ' ὅλως τὸ ἐν τόπῳ πρόσεστιν, ὥστε τὸ εἶναι πανταχοῦ τῷ ἀσωμάτῳ οὐκ ἦν τοπικόν.

οὔτε ἄρα μέρος μέν τί ἐστιν αὐτοῦ τῇδε, μέρος δὲ § 2
τῇδε. οὐκέτι γὰρ ἐκτὸς ἔσται τόπου οὐδὲ ἀδιάστατον· ἀλλ' ὅλον ἐστίν, ὅπου καί ἐστιν. οὔτε ἐνθάδε μέν ἐστι, ἀλλαχοῦ δὲ οὔ· κατειλημμένον γὰρ ἔσται ὑπὸ τοῦ τῇδε

---

ad. c. XXXIII cf. Plot. VI 4 praec. 2,3.
l. 18 sq. cf. VI 4,2 τοῦτο δὲ ἄλλον χάριν εἴρηται, ὅτι τὸ πᾶν ἐκεῖνο καὶ πρῶτον καὶ ὂν οὐ ζητεῖ τόπον οὐδ' ὅλως ἔν τινι ... καὶ τὸ πανταχοῦ δὲ λέγεσθαι εἶναι αὐτὸ δῆλον, ὅτι ἐν τῷ ὄντι.
l. 20 cf. VI 4,3 ἢ ἔσται αὐτοῦ τὸ μὲν ὡδί, τὸ δὲ ἄλλοθι.

---

1 εὐθύς τε V Stob. 2 λογιζομένου: hic desinunt Stobaei libri. 3 παρ' ὧν S. ἀρέσκει S. 5 τοῦ iterat V. 12 οὐ] ὁ Q. 14 ἐν ὕλῃ R. ἐν ὄγκῳ S. 20 μέν τι Kroll] μέντοι S. ἐστιν correxi] ἔσται S. 21 διάστατον Creuz. 23 τοῦ τῇδε Kroll] τόπῳ τῇδε S.

ἀφεστηκὸς δὲ τοῦ ἐκεῖσε, οὐδὲ πόρρω μὲν τοῦδε, ἐγγὺς μέντοι τοῦδε, ὡς τὸ πόρρω καὶ ἐγγὺς ⟨περὶ⟩ τῶν ἐν τόπῳ πεφυκότων εἶναι λέγεται κατὰ μέτρα διαστημάτων. ὅθεν ὁ μὲν κόσμος τῷ νοητῷ διαστατῶς πάρεστιν, τὸ δὲ ἀσώματον τῷ κόσμῳ ἀμερῶς καὶ ἀδιαστάτως. τὸ δ' ἀμερὲς ἐν διαστατῷ ὅλον γίνεται κατὰ πᾶν μέρος, ταὐτὸν ὂν καὶ ἓν ἀριθμῷ. τῷ μὲν ἄρα πεπληθυσμένῳ φύσει καὶ μεμεγεθυσμένῳ τὸ ἀμερὲς καὶ ἀπλήθυντον μεμεγέθυνται καὶ πεπλήθυνται, καὶ οὕτως αὐτοῦ ἀπολαύει, ὡς αὐτὸ πέφυκεν, οὐχ ὡς ἐκεῖνο ἔστι, τῷ δ' ἀμερεῖ καὶ ἀπληθύντῳ φύσει ἀμερές ἐστι καὶ ἀπλήθυντον τὸ μεριστὸν καὶ πεπληθυσμένον, καὶ οὕτως αὐτῷ πάρεστι, τοῦτ' ἔστιν, αὐτῷ ἀμερῶς πάρεστι καὶ ἀπληθύντως καὶ ἀτόπως κατὰ τὴν αὐτοῦ φύσιν τῷ μεριστῷ καὶ πεπληθυσμένῳ φύσει καὶ ὄντι ἐν τόπῳ, τὸ δὲ μεριστὸν καὶ πεπληθυσμένον καὶ ἐν τόπῳ πάρεστι θατέρῳ τούτων ἐκτὸς ὄντι μεριστῶς καὶ πεπληθυσμένως καὶ τοπικῶς.

§ 3 *Δεῖ τοίνυν ἐν ταῖς σκέψεσι κατακρατοῦντα τῆς ἑκατέρου ἰδιότητος μὴ ἐπαλλάττειν τὰς φύσεις, μᾶλλον δὲ τὰ προσόντα τοῖς σώμασιν, ᾗ τοιαῦτα, μὴ φαντάζεσθαι καὶ δοξάζειν περὶ τὸ ἀσώματον. οὐ γὰρ ἂν τὰ ἴδιά τις τοῦ καθαρῶς ἀσωμάτου προσγράψειε τοῖς σώμασι. τῶν μὲν γὰρ σωμάτων ἐν συνηθείᾳ πᾶς, ἐκείνων δὲ μόλις ⟨τις⟩ ἐν γνώσει γίνεται, ἀοριστῶν περὶ αὐτὰ καὶ οὐχ ὅτι καὶ αὐτόθεν ἐπιβάλλων, ἕως ἂν ὑπὸ φαντασίας κρατῆται.*

---

l. 1 cf. VI 4,2 *εἰ δὲ μήτε τὸ πόῤῥω μήτε τὸ ἐγγύθεν, ἀνάγκη ὅλον παρεῖναι, εἴπερ πάρεστιν.*
l. 5/6 sq. cf. VI 5,3 *τὸ ἓν καὶ ταὐτὸν ἀριθμῷ μὴ μεμερισμένον, ἀλλὰ ὅλον ὄν.*

---

2 *περὶ* (vel *ἐπὶ*) add. Kroll] 4 *διαστατῶς* Kroll] *διαστατικῶς* S. 9 *αὐτοῦ ἀπολαύει* Creuz.] *αὐτῷ ἀπολάβῃ* S (*αὐτῷ ἀπολαύει* M). 12 *αὐτὸ ἀμερῶς* Holst. 15 *καὶ* om. Holst. 15 *θατέρῳ* Holst.] *θάτερον* S. 17 *κατακρατοῦντα* correxi] *κατακρατοῦντος* S — *τες* Holst. — *τας* Creuz. 19 *ᾗ* Kroll] *ἢ* codd. 22 *τις* add. Kroll.

§ 4 οὕτως οὖν ἐρεῖς· εἰ τὸ μὲν ἐν τόπῳ καὶ ἔξω ἑαυτοῦ, ὅτι εἰς ὄγκον προελήλυθε, τὸ ⟨δὲ⟩ νοητὸν οὔτε ἐν τόπῳ καὶ ἐν ἑαυτῷ, ὅτι οὐκ εἰς ὄγκον προελήλυθεν, εἰ τὸ μὲν εἰκών, τὸ δὲ ἀρχέτυπον, τὸ μὲν πρὸς τὸ νοητὸν κέκτηται τὸ εἶναι, τὸ δὲ ἐν ἑαυτῷ· πᾶσα γὰρ εἰκὼν νοῦ ἐστιν εἰκών.

§ 5 καὶ [ὡς] μεμνημένον δεῖ τῆς ἀμφοῖν ἰδιότητος μὴ θαυμάζειν τὸ παρηλλαγμένον ἐν τῇ συνόδῳ, εἰ δεῖ ὅλως σύνοδον λέγειν. οὐ γὰρ δὴ σωμάτων σύνοδον σκοπούμεθα, ἀλλὰ πραγμάτων παντελῶς ἐκβεβηκότων ἀπ' ἀλλήλων κατ' ἰδιότητα ὑποστάσεως. διὸ καὶ ἡ σύνοδος ἐκβεβηκυῖα τῶν θεωρεῖσθαι εἰωθότων ἐπὶ τῶν ὁμοουσίων. οὔτε οὖν κρᾶσις ἢ μῖξις ἢ σύνοδος ἢ παράθεσις, ἀλλ' ἕτερος τρόπος φαντάζων μὲν παρὰ τὰς ὁπωσοῦν γινομένας ἄλλων πρὸς ἄλλα κοινωνίας τῶν ὁμοουσίων, πασῶν δὲ ἐκβεβηκὼς τῶν πιπτουσῶν ὑπὸ τὴν αἴσθησιν. ἐν ἀπείροις μέρεσιν εἰ τύχοι τοῦ διαστατοῦ παρὸν ὅλον τὸ ἀδιάστατον, οὔτε μερισθὲν πάρεστι, τῷ μέρει διδὸν μέρος, οὔτε πληθυνθὲν τῷ πλήθει παρέσχεν ἑαυτὸ πολλαπλασιασθέν, ἀλλ' ὅλον πᾶσί τε τοῖς μέρεσι τοῦ ὠγκωμένου ἑνί τε ἑκάστῳ τοῦ πλήθους καὶ παντὶ τῷ ὄγκῳ καὶ παντὶ τῷ πλήθει πάρεστιν ἀμερῶς καὶ ἀπληθύντως καὶ ὡς ἓν ἀριθμῷ· τὸ δὲ μερικῶς καὶ διῃρημένως ἀπολαύειν αὐτοῦ προσῆν τοῖς εἰς μέρη ἑτεροδύναμα ἐσκεδασμένοις, οἷς συνέβαινε πολλάκις τὸ αὐτῶν ἐλάττωμα τῆς φύσεως ἐκείνου καταψεύδεσθαι καὶ ἀπορεῖν γε περὶ τῆς οὐσίας ⟨τῇ⟩ ἀπὸ τῆς αὐτοῖς εἰωθυίας [ἢ] εἰς τὴν ἐκείνης μεταβάσει.

---

l. 11 κρᾶσις cf. Plot. I 1,3 ἀλλὰ εἰ ἐμέμικτο (ψυχὴ καὶ σῶμα) ἢ κρᾶσίς τις ἦν ἢ ...

---

2 δὲ add. Kroll. 6 ὡς del. Kroll. 14 ἐκβεβηκὸς Holst. 15 τύχοι Cr.] τύχῃ S. 18 ἑαυτῷ UMQ. πολλαπλησιασθὲν Q. 18/19 ὠγκωμ. Cr.] ὀγκωμ. S. 19 ἑνί τε Holst.] ἐνὶ τὴν S. παντὶ ὄγκῳ τῷ καὶ Holst. 21 ὡς ἕν] ὡς ὂν R. 22 ἑτεροδύναμα Kroll] ἑτέρῳ δύναμιν S. 23 ἐκείνῳ S. 24 τῇ addidi. 25 αὐτοῖς Kroll] αὐτῆς S ἢ delevi. μεταβάσει correxi] μετάβασιν S.

V, 8 [XXXVI] **XXXIV.** *Τὸ ὄντως ὂν οὔτε μέγα οὔτε μικρόν ἐστι· τὸ γὰρ μέγα καὶ μικρὸν κυρίως ὄγκου ἴδια. ἐκβεβηκὸς δὲ ὑπὲρ τὸ μέγα ὂν καὶ ὑπὲρ τὸ μικρὸν καὶ ὑπὲρ τὸ μέγιστον καὶ ὑπὲρ τὸ ἐλάχιστον ταὐτὸ καὶ ἓν ἀριθμῷ ὄν, εἰ καὶ εὑρίσκεται ἅμα ὑπὸ παντὸς μεγίστου καὶ ὑπὸ παντὸς ἐλαχίστου μετεχόμενον. μήτε ἄρα ὡς μέγιστον αὐτὸ ὑπονοήσῃς, εἰ δὲ μή, ἀπορήσεις, πῶς μέγιστον ὂν τοῖς ἐλαχίστοις ὄγκοις πάρεστι μὴ μειωθὲν ἢ συσταλέν, μήτε ὡς ἐλάχιστον· εἰ δὲ μή, πάλιν ἀπορήσεις, πῶς ἐλάχιστον ὂν τοῖς μεγίστοις ὄγκοις πάρεστι μὴ πολλαπλασιασθὲν ἢ αὐξηθὲν ἢ παραταθέν. ἀλλὰ τὸ ἐκβεβηκὸς τὸν μέγιστον ὄγκον εἰς τὸ μέγιστον καὶ τὸν ἐλάχιστον εἰς τὸ ἐλάχιστον ἅμα λαβὼν ἐπινοήσεις, πῶς ἅμα καὶ ἐν τῷ τυχόντι καὶ ἐν παντὶ καὶ ἐν ἀπείροις θεωρεῖται πλήθεσί τε καὶ ὄγκοις τὸ αὐτὸ ὂν καὶ ἐν ἑαυτῷ μένον· σύνεστι γὰρ τῷ μεγέθει τοῦ κόσμου κατὰ τὴν αὐτοῦ ἰδιότητα ἀμερῶς τε καὶ ἀμεγέθως, καὶ φθάνει τὸν ὄγκον τοῦ κόσμου καὶ πᾶν μέρος τοῦ κόσμου περιλαβὸν τῇ ἑαυτοῦ ἀμερείᾳ. ὥσπερ αὖ ὁ κόσμος τῇ αὐτοῦ πολυμερείᾳ πολυμερῶς αὐτῷ σύνεστι καὶ καθ' ὅσον οἷός τε καὶ οὐ δύναται αὐτὸ περιλαβεῖν οὔτε καθ' ὅλον οὔτε κατὰ πᾶσαν αὐτοῦ τὴν δύναμιν, ἀλλὰ ἐν πᾶσιν αὐτῷ ὡς ἀπείρῳ καὶ ἀδιεξιτήτῳ ἐντυγχάνει κατά τε ἄλλα καὶ καθ' ὅσον ὄγκου παντὸς καθαρεύει.*

---

ad. c. XXXIV cf. Plot. VI 4.

---

2 sqq. *ἐκβεβ. δὲ τὸ μέγα ὂν καὶ τὸ μικρὸν καὶ ὑπὸ τοῦ μεγίστου καὶ ὑπὸ τοῦ ἐλαχίστου ταὐτὸ καὶ ἓν ἀρ.* l. 4 V. 4/5 *εὑρίσκεται καὶ ἅμα ὑπὸ παντὸς μεγάλου τοῦτο καὶ ὑπὸ παντὸς ἐλαχίστου* V ante *ἅμα* hab. *καὶ* eras. U². 6 *μετεχόμενον* om. VU¹. *μήτε γὰρ* VU¹. *ὑπονήσεις* S. 7 *πῶς μέγιστον* — l. 9 *πάλιν ἀπορήσεις* om. VU¹. 9 *ῥήσεις* R. 11 *εἰς τὸν μέγιστον* V (*τὸ* ex *τὸν* U²). 13 *καὶ ἐν παντὶ* om. Holst. 14 *καὶ* posterius om. VU¹. 17 *περιλαβὼν* VMQ. 18 *αὐτοῦ* V *ἑαυτοῦ* S. 21 *ἀλλ'* S. *ἐν πᾶσιν*] *ἔμπαλιν* Kroll.

XXXV. *Τὸ ὄγκῳ μεῖζον δυνάμει ἔλαττον, συγκρινόμενον οὐ πρὸς τὰ ὅμοια γένη, πρὸς δὲ τὰ κατ' εἶδος ἐξηλλαγμένα δι' ἑτερότητα οὐσίας. οἷον γὰρ ἔκβασις ἦν ἀφ' ἑαυτοῦ ὁ ὄγκος καὶ κατακερματισμὸς τῆς δυνάμεως. τὸ ἄρα δυνάμει ὑπερέχον ὄγκου παντὸς ἀλλότριον· πεπλήρωται γὰρ ἑαυτῆς ἡ δύναμις καὶ εἰς ἑαυτὴν κεχωρηκυῖα καὶ ἑαυτὴν δυναμοῦσα τὸ οἰκεῖον κέκτηται κράτος. διόπερ τὸ σῶμα προελθὸν εἰς ὄγκον τοσοῦτον ἀφέστηκεν ἐν ἐλαττώσει δυνάμεως τῆς τοῦ ἀσωμάτου ⟨καὶ⟩ ὄντως ὄντος δυνάμεως, ὅσον τὸ ὄντως ὂν ἐν ὄγκῳ οὐκ ἐστενώθη μένον ἐν μεγέθει τῆς αὐτοῦ διὰ τὸ ἄογκον δυνάμεως. ὡς οὖν τὸ ὄντως ὂν πρὸς ὄγκον ἀμέγεθες καὶ ἄογκον, οὕτω τὸ σωματικὸν πρὸς τὸ ὄντως ὂν ἀσθενὲς καὶ ἀδύναμον. τὸ μὲν γὰρ μεγέθει δυνάμεως μέγιστον ὄγκου λειπόμενον. ὥστε πανταχοῦ ὢν ὁ κόσμος πανταχοῦ τῷ ὄντως ὄντι, ὡς λέγεται πανταχοῦ εἶναι, ἐντυγχάνων περιλαβεῖν τὸ μέγεθος τῆς δυνάμεως οὐ δύναται· ἐντυγχάνει δὲ οὐ μεριστῶς συνόντι, ἀλλ' ἀμεγέθως καὶ ἀόγκως. ἡ οὖν παρουσία οὐ τοπική, ἐξομοιωτικὴ δέ, καθ' ὅσον οἷόν τε σῶμα ὁμοιοῦσθαι ἀσωμάτῳ καὶ ἀσώματον θεωρεῖσθαι* V, 8 [XXXVII]

ad. c. XXXV cf. Plot. VI 4, Procl. CLXXVII.
l. 1 sqq. cf. Plot. IV 7,9 *εἰ δὲ μεγάλων μὲν τῶν ὄγκων μικραὶ (δυνάμεις), οἱ δὲ μικρότατοι τῶν ὄγκων μεγίστας ἔχουσι τὰς δυνάμεις, ἄλλῳ τινὶ ἢ μεγέθει τὸ ποιεῖν ἀναθετέον.*
l. 18 sq. cf. *πρὸς Γαῦρον* XIII 7 *ἦν δ' ἀμελὲς καὶ τοῦτο ἀγνόημα τῶν συνεῖναι μὴ δυναμένων, πῶς ἡ ψυχὴ πάρα τῷ σώματι καὶ πῶς πάλιν ἄπεστι καὶ ὅτι οὐ τοπικὴ ἡ παρουσία τε καὶ ἀπουσία.*

3 ante *δι'* ins. *ἡ* S. 5 *ὄγκῳ πᾶν* V. 6 *καὶ* prius om. S. 8 *τῆς τοῦ ἀσ.* — 9 *ὄντως* post. om. V. 9 *καὶ* add. Kroll. 10 *ἐστενώθη* Kroll] *ἐκενώθη* codd. *τῆς αὐτοῦ* V *τῆς αὐτῆς* S 11 *τῆς δυνάμεως* V. *πρὸς ὄγκον* — 12 *ὄντως ὂν* om. V. 13 *ἀδύναμον*] *ἀδύνατον* V. 15 *τῷ ὄντως ὄντι*] *ὄντος τῷ ὄντι* S *ὄντι τᾷ ὄντι* V. *ὡς*] *ὃ* Creuz. 17 *ἀόγκως*] *ἀορίστως* S.

ἐν σώματι ὡμοιωμένῳ αὐτῷ. καὶ οὐ πάρεστιν οὖν τὸ ἀσώματον, καθ' ὅσον ὁμοιοῦσθαι τὸ ἔνυλον τῷ καθαρῶς ἀΰλῳ οὐχ οἷόντε, καὶ πάρεστι καθ' ὅσον ὁμοιοῦσθαι δύναται τὸ σωματικὸν τῷ ἀσωμάτῳ· οὐ μὴν ἑνοῦται διὰ τῆς καταδοχῆς (ἐφθάρη γὰρ ἂν ἑκάτερον), τὸ μὲν ἔνυλον δεξάμενον τὸ ἄϋλον διὰ τῆς εἰς αὐτὸ μεταβολῆς, τὸ δὲ ἄϋλον γεγονὸς ἔνυλον. ὁμοιώσεις οὖν καὶ μετοχαὶ ἀπὸ τῶν δυνάμεων καὶ ἀδυναμιῶν εἰς τὰ οὕτως ἑτεροούσια φοιτῶσι παρ' ἄλλων εἰς ἄλλα. πολὺ ἄρα τὸ ἀπὸν τῷ μὲν κόσμῳ τῆς δυνάμεως τοῦ ὄντος, τῷ δὲ ὄντι τῆς ἀδυναμίας τοῦ ἐνύλου. τὸ δ' ἐν μέσῳ ὁμοιοῦν καὶ ὁμοιούμενον καὶ συνάπτον τὰ ἄκρα τουτὶ γέγονεν αἴτιον τῆς περὶ τὰ ἄκρα ἀπάτης διὰ τὸ τῇ ὁμοιώσει προσιέναι τῷ ἑτέρῳ τὰ ἕτερα.

V, 8 [XXXVIII] XXXVI. *Τὸ ὄντως ὂν πολλὰ λέγεται οὐ τόπου διαφοραῖς οὐδὲ ὄγκου μέτροις, οὐ σωρείᾳ, οὐ μερῶν μερισταῖς περιγραφαῖς ἢ διαλήψεσιν, ἀλλ' ἑτερότητι ἀΰλῳ καὶ ἀόγκῳ καὶ ἀπληθύντῳ κατὰ πλῆθος διῃρημένον. διὸ καὶ ἕν· οὐχ ὡς ἓν σῶμα οὐδ' ὡς ἐν τόπῳ οὐδ' ὡς εἷς ὄγκος, ἀλλὰ ἓν πολλά, ὅτι καθ' ὃ ἕν, ἕτερον, καὶ ἡ ἑτερότης αὐτοῦ διῄρηται καὶ ἥνωται· οὐ γὰρ ἔξωθεν ἐπίκτητος οὐδὲ ἐπεισοδιώδης αὐτοῦ ἡ ἑτερότης οὐδὲ ἄλλου μεθέξει, ἀλλ' ἑαυτοῦ*

---

ad. c. XXXVI cf. Plot. VI 5 (praec. § 3).

---

1 *ὡμοιωμένῳ* Cr.] *ὁμοιουμένω* S *ὁμοιωμένον* V *αὐτῷ*/// ex? corr. V. 4 *ἑνοῦται* Kroll] *ἔτι καὶ* codd. 8/9 *παρ' ἄλλων εἰς ἄλλα* Kroll] *παρ' ἀλλήλων εἰς ἄλληλα* codd. 9 *ἀπὸν*] *λεῖπον* Kroll. 10 *ὄντι*] *ὅτι*, i. mg. *ὄντι* V. 11 *συνάπτων* M. 12 *τουτὶ* Kroll] *ταυτὶ* codd. 13 *προσιέναι* Kroll] *προστιθέναι* codd. 14 *τόπ$^{\omega\nu}$ου διαφοραῖς* Kroll] *τόποις διαφόροις* codd. 15 *μερισταῖς*] *μεριστῶν* Holst. 16 *ὑπογραφαῖς* S. *ἀλλ'*] *καὶ* V. 17 *οὐχ*] *καὶ οὐχ* V. 18 *ἐν* Kroll] *ἑνὶ* codd. 18/19 *ἀλλὰ ἓν πολλὰ*] *οὐδ' ὡς ἓν πολλὰ* S. 19/20 *διῄρηται*] *ἤρτηται* V. 20 *ἥνωται*] *ἤρωται* V. *ἐπίκτητος*] *ἐπιόντος* V. 20/21 *ἐπϊσιώδης* S (*ἐπουσιώδης* M). 21 *ἑαυτῷ πολλά* S.

πολλά. ταῖς γὰρ πάσαις ἐνεργείαις ἐνεργεῖ μένον, ὅ ἐστιν, ὅτι τὴν πᾶσαν ἑτερότητα διὰ τῆς ταυτότητος ὑπέστησεν οὐκ ἐν διαφορότητι θατέρου πρὸς τὸ ἕτερον θεωρουμένην, καθάπερ ἐπὶ τῶν σωμάτων· ἐπὶ τούτων μὲν γὰρ ἀνάπαλιν καὶ ἡ ἑνότης ἐν ἑτερότητι, ὡς ἂν προηγουμένης μὲν ἐν αὐτοῖς τῆς ἑτερότητος, ἔξωθεν δὲ καὶ ἐπεισοδιώδους τῆς ἑνότητος ἐγγενομένης. ἐπὶ γὰρ τοῦ ὄντος ἡ μὲν ἑνότης προηγεῖται καὶ ἡ ταυτότης, ἡ δὲ ἑτερότης ἐκ τοῦ ἐνεργητικὴν εἶναι τὴν ἑνότητα γέγονε. διόπερ ἐκεῖνο μὲν ἐν ἀμερεῖ πεπλήθυνται, τοῦτο δὲ ἐν πλήθει καὶ ὄγκῳ ἥνωται. κἀκεῖνο μὲν ἐν ἑαυτῷ ἵδρυται καθ' ἓν ὂν ἐν ἑαυτῷ καὶ οὐκ ἐξιστάμενον, τοῦτο δὲ οὐδέποτε ἐν ἑαυτῷ, ὡς ἂν ἐν ἐκστάσει λαβὸν τὴν ὑπόστασιν. τὸ μὲν ἄρα ἓν παντενέργητον, τὸ δὲ πλῆθος ἑνιζόμενον. πιέζειν οὖν δεῖ, πῶς ἓν ἐκεῖνο καὶ ἕτερον, καὶ πῶς πάλιν τοῦτο πλῆθος καὶ ἕν, καὶ μὴ ἐπαλλάττειν τὰ τοῦ ἑτέρου ἴδια εἰς τὰ θατέρῳ προσόντα.

XXXVII. Οὐ διὰ τὸ πλῆθος τῶν σωμάτων δεῖ νομίζειν τὸ πλῆθος τῶν ψυχῶν γενέσθαι, πρὸ δὲ τῶν σωμάτων εἶναι καὶ πολλὰς καὶ μίαν, οὔτε τῆς μιᾶς καὶ ὅλης κωλυούσης τὰς πολλὰς ἐν αὐτῇ εἶναι οὔτε τῶν πολλῶν τὴν μίαν S. Stob. Ecl. I 49 (p. 345). [XXXIX]

l. 12 ἐξιστάμ. cf. Plot. VI 5,3 καὶ οὐκ ἐξίσταται αὐτὸ ἑαυτοῦ. ad. c. XXXVII cf. Plot. VI 4 praecip. § 4 (cf. praeterea IV 9. et V 9,6).

l. 17 sqq. cf. VI 4,4 οὔτε διὰ τὸ μέγεθος τοῦ σώματος δεῖ νομίζειν τὸ πλῆθος τῶν ψυχῶν γίνεσθαι, ἀλλὰ πρὸ τῶν σωμάτων εἶναι καὶ πολλὰς καὶ μίαν... οὔτε γὰρ ἡ μία ἡ ὅλη κωλύει τὰς πολλὰς ἐν αὐτῇ εἶναι οὔτε αἱ πολλαὶ τὴν μίαν.

1 ὅ ἐστιν om. S. 2 ὅτι om. V. 3 θεωρούμενον S. 4 μὲν πάλιν V. 5/6 μὲν ἡ αὐτοῖς V. 6 τῆς prius om. V. ἐπισοδιώδους S. ἐπισοδιώδως Holst. 8 ὁ ταυτότης V. 10 πεπλήθυται V. 11/12 καὶ οὐκ ἐξιστάμενον om. S. 12 τοῦτο δὲ] τὸ δὲ S. ἐν αὐτῷ V. 13 λαβὸν Holst.] λαβὼν codd. 15/16 ἐπηλλάττειν V ὑπαλλάττειν S ὑπολλάττειν Holst. 18 τὸ om. Stob. 19 καὶ ante πολλὰς om. Stob. 20 ἐν αὐτῇ S.

εἰς αὐτὰς μεριζουσῶν. διέστησαν γὰρ οὐκ ἀποκοπεῖσαι οὐδὲ ἀποκερματίσασαι εἰς ἑαυτὰς τὴν ὅλην καὶ πάρεισιν ἀλλήλαις οὐ συγκεχυμέναι οὐδὲ σωρὸν ποιοῦσαι τὴν ὅλην· οὔτε γὰρ πέρασίν εἰσι διειλημμέναι οὔτε πάλιν ἀλλήλαις συγκεχυμέναι, ὥσπερ οὐδὲ αἱ ἐπιστῆμαι συνεχύθησαν αἱ πολλαὶ ἐν ψυχῇ μιᾷ, καὶ πάλιν οὐκ ἔγκεινται ὡς τὰ σώματα τῇ ψυχῇ ἑτεροουσίως, ἀλλὰ τῆς ψυχῆς ποιαὶ ἦσαν ἐνέργειαι. ἀπειροδύναμος γὰρ ἡ τῆς ψυχῆς φύσις καὶ καθ' ἕκαστον τὸ τυχὸν αὐτῆς ψυχὴ καὶ πᾶσαι μία καὶ πάλιν ἡ ὅλη ἄλλη παρὰ πάσας. ὡς γὰρ τὰ σώματα ἐπ' ἄπειρον τεμνόμενα οὐ καταλήγει εἰς ἀσώματον κατ' ὄγκον μόνον λαμβάνοντα τῶν τμημάτων τὴν διαφοράν, οὕτω ψυχὴ εἶδος οὖσα ζωτικὸν ἐπ' ἄπειρον κατὰ τὰ εἴδη συνείληπται, παραλλαγὰς [γὰρ] ἔχουσα εἰδικὰς καὶ ἡ ὅλη σὺν ταύταις οὖσα καὶ ἄνευ τούτων. εἰ γὰρ ἐπ' αὐτῆς οἷον τομή, ἑτερότης ἦν μενούσης τῆς ταυτότητος. εἰ δ' ἐπὶ τῶν σωμάτων, ἐφ' ὧν ἡ ἑτερότης ἐκράτει μᾶλλον τῆς ταυτότητος, οὐδὲν ἐπεισελθὸν ἀσώματον διέκοψε τὴν ἕνωσιν, μένει δὲ πάντα ἡνωμένα μὲν κατὰ τὴν οὐσίαν, ταῖς δὲ ποιότησι καὶ τοῖς ἄλλοις εἴδεσι διειλημμένα, τί χρὴ καὶ λέγειν καὶ ὑπονοεῖν ἐπὶ τῆς εἰδικῆς ἀσωμάτου ζωῆς, ἐφ' ἧς ἡ ταυτότης μᾶλλον κεκρά-

---

l. 4/5 cf. VI 4,4 *οὐ γὰρ πέρασίν εἰσιν διωρισμέναι, ὥσπερ οὐδὲ ἐπιστῆμαι αἱ πολλαὶ ἐν ψυχῇ μιᾷ.* V 9,6 *ἐπεὶ καὶ ψυχὴ ὁμοῦ ἔχουσα πολλὰς ἐπιστήμας ἐν ἑαυτῇ κ. τ. λ.*

---

1 *αὐτὰς* codd. 2 *ἀποκρεματίσασαι* R. 6 *ἔγκειται* S. 7 *ἑτερουσίως* Stob. 8 *γὰρ* om. Stob. 9 *ἡ ψυχὴ* R post *αὐτῆς* inser. *εἶδος ἡ πᾶσα* Wachsm. *πᾶσαι*] *αἱ πᾶσαι* S. 9 *πάλιν*] *πᾶν* S. 10 *ἄλλη ὅλη* Stob. *ἀσώματα* Stob. 11 *μόνον* om. Stob. U[1]. 12 *λαμβανόντων* Stob. 12 *εἶδος* om. Stob. 13 *ἐπ' ἄπειρα* U. *τὰ* del. Usener. *διείληπται* Wachsm. 14 *γὰρ* om. Stob. *εἰδητικὰς* Stob U[1]. 15 *καὶ ἄνευ*] *ἢ ἄνευ* S *ἢν ἄνευ* Usener. *εἰ γὰρ*] *ἡ γὰρ* Wachsm. 16 *ἦν μενούσης*] *σημαινούσης* Stob. *ἔστι μενούσης* Wachsm. 16/17 *ἐφ' ὧν* del. Mein. 19 *μὲν* om. R. 20 *καὶ λέγειν καὶ* om. Stob. 21 *ἰδικῆς* U[1]M.

τηκε τῆς ἑτερότητος καὶ οὐδὲν ὑπόκειται ἀλλοῖον παρὰ τὸ εἶδος; ἀφ' ἧς καὶ τοῖς σώμασιν ἡ ἑνότης. οὐδὲ σῶμα συνεμπεσὸν ἀποκόπτει τὴν ἕνωσιν καίπερ πρὸς τὰς ἐνεργείας ἐν πολλοῖς ἐμποδίζον, αὐτὴ δὲ δι' αὐτὴν ἡ ταυτότης αὐτῆς πάντα ποιεῖ καὶ τελίσκει διὰ τῆς ἐπ' ἄπειρον εἰδικῆς ἐνεργείας τοῦ τυχόντος μέρους πάντα δυναμένου, ὅταν σωμάτων καθαρεύῃ, ὡς τὸ τυχὸν μέρος τοῦ σπέρματος τὴν τοῦ παντὸς σπέρματος ἔχει δύναμιν. ὥσπερ δὲ κρατηθὲν ἐν ὕλῃ τι σπέρμα καθ' ἕκαστον ὃν ἠδύνατο λόγον ἐν τοῖς μέρεσι τῆς ὕλης κρατεῖται καὶ πάλιν συναχθὲν εἰς τὴν τοῦ σπέρματος δύναμιν καθ' ἕκαστον τῶν μερῶν ἔχει τὴν πᾶσαν δύναμιν, οὕτω καὶ ψυχῆς ἀΰλου τὸ ὡς μέρος ἐπινοούμενον τῆς πάσης ψυχῆς ἔχει τὴν δύναμιν, τὸ δὲ πρὸς ὕλην ῥέψαν κεκράτηται μὲν καθ' ὃ ⟨εἰς⟩ εἶδος ἔρρεψε καὶ ἐπιτηδείως ἔσχε προσομιλεῖν ἐνύλῳ εἴδει, ἔχει δὲ τὴν τῆς ὅλης δύναμιν ἤδη καὶ ἐντυγχάνει οὔσῃ ἐν αὐτῷ, ὅταν ἀπὸ τοῦ ἐνύλου ἀποστὰν ἐν ἑαυτῷ γένηται. ἐπεὶ δὲ πρὸς μὲν ὕλην ῥέπον ἴσχει ἀπορίαν πάντων καὶ τῆς οἰκείας δυνάμεως κένωσιν, εἰς δὲ τὸν νοῦν ἀναγόμενον τὸ πλῆρες αὐτῆς καὶ τὴν δύ-

---

l. 7 sqq. cf. Plot. V 9,6 αἱ μὲν οὖν ἐν τοῖς σπέρμασι δυνάμεις ἑκάστη αὐτῶν λόγος εἷς ὅλος μετὰ τῶν ἐν αὐτῷ ἐμπεριεχομένων μερῶν κ. τ. λ.

---

2 ἀφ' ἧς — ἑνότης del Usener. ἡ om. Holst. 3 συμπεσὸν F σώμπεσον (τ suprascr.) P. 4 αὐτὴ δ' αὐτὴν S αὐτὴ δι' αὐτὴν Stob. 5 αὐτῆς del. Heeren. τελίσκει Kroll] εὑρίσκει codd. εἰδητικῆς U[1] Stob. 7 καθαιρεύῃ M[1] καθαρεύει R. 8 ἔχει τὴν δ. M. 9 τι] τὸ S. ὧν ἐδύνατο λόγων Stob. 10 μέρεσι] σπέρμασι S. πάλιν] πᾶν S. τοῦ om. S. τοῦ ὅλου Heeren. 14 κρατῆσαι S. καθ' ὃ ἐπιτηδείως Wachsm. καθ' ὃ εἶδος ῥέψαν ἐπιτηδείως Stob. εἰς add. Kroll. 15 ἐνύλῳ] ἀΰλῳ Holst. εἴδει om. Stob. εἴδει εἰ καὶ ἐντυγχάνει$_{16}$ S. 16 ἀπὸ] ὑπὸ Stob. 17 ῥέπον] ῥεπούσῃ Stob. 18 ἴσχει om. U[1] Stob. ἀπορία U[1] Stob. 19 ἀναγομένη U[1] Stob. αὐτῆς] ἑαυτῆς Stob. καὶ τὴν δύναμιν R] κατὰ τ. δ. S Stob.

ναμιν ἔχειν τῆς πάσης εὑρίσκετο, τὴν μὲν εἰκότως Πενίαν, τὴν δὲ Κόρον οἱ τοῦτο πρῶτον γνόντες τῆς ψυχῆς τὸ πάθος ἠνίξαντο.

V [XL] XXXVIII. *Βουλόμενοι ὡς ἐνδέχεται διὰ λόγου παραστῆσαι τὴν τοῦ ὄντως ἀσωμάτου ἰδιότητα οἱ παλαιοί, ὅταν αὐτὸ ἓν εἴπωσι, προστιθέασιν εὐθὺς πάντα, καθ' ὃ ⟨οὐχ⟩ ἕν τι τῶν κατ' αἴσθησιν συνεγνωσμένων. ὅταν δὲ ἀλλοῖον τὸ ἓν τοῦτο ὑπονοήσωσιν οὐχ ὁρῶντες ἐπὶ τοῦ αἰσθητοῦ τὸ ὅλον τοῦτο ἓν πάντα καθ' ὃ ἕν, τῷ πάντα αὐτὸ ἓν εἶναι συνῆψαν τὸ ἓν καθ' ὃ ἕν, ἵνα ἀσύνθετόν τι νοήσωμεν τὸ πάντα εἶναι ἐπὶ τοῦ ὄντος καὶ σωρείας ἀποστῶμεν. καὶ ὅταν πανταχοῦ αὐτὸ εἶναι εἴπωσι, προστιθέασιν, ὅτι οὐδαμοῦ. ὅταν δὲ ἐν πᾶσιν εἶναι καὶ ἐν παντὶ τῷ ἐπιτηδείως αὐτὸ δέχεσθαι δυναμένῳ μεριστῷ, προστιθέασιν, ὅτι ἐν ὅλῳ ὅλον. καὶ ὅλως διὰ τῶν ἐναντιωτάτων αὐτὸ δεδηλώκασιν ἅμα ταῦτα λαμβάνοντες, ἵνα τὰς ἀναπλαστικὰς ἀπὸ σωμάτων ἐξορίσωμεν ἀπ' αὐτοῦ ἐπινοίας, αἳ παρασκιάζουσι τὰς γνωριστικὰς ἰδιότητας τοῦ ὄντος.*

V Stob. (Ecl. I 41 p. 281). [XXXIII] XXXIX. *Τὰ κατηγορούμενα τοῦ αἰσθητοῦ καὶ ἐνύλου ἀληθῶς ἐστι ταῦτα· τὸ πάντῃ εἶναι διαπεφορημένον, τὸ μεταβλητὸν εἶναι, τὸ ὑφεστάναι ἐν ἑτερότητι, τὸ σύνθετον εἶναι,*

---

l. 1 sqq. *Πενίαν καὶ Κόρον* cf. Plot. III 5,2 et infra c. XL.
ad. c. XXXVIII cf. Plot. VI 5,1.
l. 13 *ἐπιτηδείως*: cf. *πρὸς Γαῦρον* XII 3 et XIII 7.
ad c. XXXIX cf. Plot. VI 5,2.
l. 20 sqq. *ἐπεὶ γὰρ τὸ μέν ἐστι πεφορημένον καὶ παντοίας δεχόμενον μεταβολὰς καὶ εἰς πάντα τόπον διειλημμένον* ...

---

1 *ηὑρίσκετο* Stob. 2 *Πόρον* Creuz. cf. praef. p. XXIX. 2/3 *πάθος*] *πλῆρες* S. 5 *ὄντως* correxi] *ὄντος* V. 7 *οὐχ* add. Kroll. 8 *ὑπονοήσωσιν* Kroll] *ὑπονοήσωμεν* V. 9 sq. haec sana esse non praesto. 12 *ὅταν* Holst.] *ὃ δὲ* V. 13 *οὐδαμοῦ ὅταν δὲ ἐν πᾶσιν εἶναι καὶ ἐν παντὶ* iterat V. 15 *αὐτὸ* Holst.] *αὐτῷ* V. 16 *ταῦτα* Kroll] *ταύτας* V. 20 *πεφορημένον* V.

τὸ καθ᾽ αὑτὸ λυτὸν ὑπάρχειν, τὸ ἐν τόπῳ, τὸ ἐν ὄγκῳ θεωρεῖσθαι καὶ ὅσα τούτοις παραπλήσια. τοῦ δὲ ὄντως § 2 ὄντος καὶ καθ᾽ ἑαυτὸ ὑφεστηκότος ἀΰλου τὸ εἶναι ἀεὶ ἐν ἑαυτῷ ἱδρυμένον, τὸ ὡσαύτως κατὰ ταὐτὰ ἔχειν, τὸ ἐν ταυτότητι οὐσιῶσθαι, τὸ ἀμετάβλητον εἶναι κατ᾽ οὐσίαν, τὸ ἀσύνθετον, τὸ μήτε λυτὸν μήτε ἐν τόπῳ εἶναι μήτε εἰς ὄγκον διαπεφορῆσθαι, τὸ μήτε γιγνόμενον μήτε ἀπολλύμενον εἶναι καὶ ὅσα τούτοις ὅμοια, ὧν ἐχομένους δεῖ μηδὲν ἐπαλλάττοντας περὶ τῆς διαφόρου αὐτῶν φύσεως καὶ αὐτοὺς λέγειν καὶ ἄλλων λεγόντων ἐπακούειν.

XL. Ὅταν λάβῃς ἀένναον οὐσίαν ἐν ἑαυτῇ κατὰ δύναμιν V [XLI] ἄπειρον καὶ νοεῖν ἄρξῃ ὑπόστασιν ἀκάματον, ἄτρυτον, οὐδαμῇ μὲν ἐλλείπουσαν, ὑπερεξαίρουσαν δὲ τῇ ζωῇ τῇ ἀκραιφνεστάτῃ καὶ πλήρει ἀφ᾽ ἑαυτῆς, ἐν αὑτῇ τε ἱδρυμένῃ καὶ κεκορεσμένῃ ἐξ ἑαυτῆς καὶ οὐδ᾽ ἑαυτὴν ζητούσῃ,

---

l. 3 sqq. *τὸ δὲ ὂν ἀεὶ οὐ διειλημμένον, ὡσαύτως κατὰ ταὐτὰ ἔχον, οὔτε γινόμενον οὔτε ἀπολλύμενον οὐδέ τινα χώραν οὐδὲ τόπον οὐδέ τινα ἕδραν ἔχον ... ἐν ἑαυτῷ μένον.*
ad c. XL cf. Plot. VI 5,12.
l. 11 sqq. *ἐὰν οὖν λάβῃς ἀέναον ἐν αὐτῇ ἀπειρίαν, φύσιν ἀκάματον καὶ ἄτρυτον καὶ οὐδαμῇ ἐλλείπουσαν, ἐν αὐτῇ οἷον ὑπερζέουσαν ζωῇ, ᾗ που ἐπιβαλὼν ἢ πρός τι ἀτενίσας οὐχ εὑρήσεις ἐκεῖ, τοὐναντίον δ᾽ ἄν σοι γένοιτο. οὐ γάρ σύ γε ὑπερβήσῃ παρελθὼν οὐδὲ αὖ στήσῃ εἰς μικρὸν ὡς οὐκέτι ἐχούσης δι-*

---

1 καθ᾽ αὑτὸ] κατ᾽ αὐτὸν V. λυτὸν om. Stob. μὴ ὑπάρχειν Wachsm. οὐχ ὑπάρχ. (sine λυτὸν) Heeren. 2 θεωρεῖται V. καὶ ὅσα] καὶ θέα Stob. 3 ὄντος] ὄντοι V. καὶ om. V. ἀΰλου] αὐτοῦ Stob. τὸ εἶναι — ἱδρυμένον₄ om. V. 4 τὸ ὡσαύτως κατὰ ταὐτὰ ἔχειν] τὸ κατ᾽ αὐτὸ τὸ αὐτὸ ἔχειν V ὡσαύτως τὸ κατὰ ταῦτα ἔχειν Stob. τὸ ὡσαύτως καὶ κατὰ ταὐτὰ ἔχειν Mein. 5 αὐτότητι P. οὐσιᾶσθαι V. 6 μήτε λυτὸν om. V. 7 διαπεφορεῖσθαι Stob. 8 καὶ ὅσα τοιαῦτα Stob. μηδὲ Stob. μηδ᾽ ἐπ᾽ ἄλλων τὰς περὶ Heeren. 10 ὑπακούειν Stob. πλήρῃ ἐφ᾽ ἑαυτῆς Creuz. 15 οὐδ᾽ ἑαυτὴν] οὐδὲν πλὴν ἑαυτῆς Creuz.

ταύτῃ ἐάνπερ τὸ ποῦ ἐπιβάλῃς ἢ τὸ πρός τι, ἅμα τῷ ἠλαττῶσθαι ἐξ ἐνδείας τοῦ ποῦ ἢ πρός τι, εὐθὺς ἐκείνην μὲν οὐκ ἠλάττωσας, ἑαυτὸν δὲ ἀπέστρεψας κάλυμμα λαβὼν τὴν ὑποδραμοῦσαν τῆς ὑπονοίας φαντασίαν.

§ 2 *οὐ γὰρ δὴ ὑπερβήσῃ παρελθὼν τὴν τοιαύτην οὐδ' αὖ στήσεις οὐδ' ἀπαρτήσεις οὐδὲ καταλήξεις εἰς μικρόν, ὡς οὐκέτι ἐχούσης διδόναι ἐν τῷ κατὰ μικρὸν ἐπιλιπεῖν. ἀδιάλειπτος γὰρ μᾶλλον ἢ πασῶν πηγῶν τὸ ἀεὶ χεόμενον [νοῶν] καὶ ἀδιάλειπτον. ἢ συνθεῖν [οὐ] δυνηθεὶς καὶ τῷ παντὶ ὁμοιωθῆναι τοῦ ὄντος οὐδὲν ἐπιζητήσεις ἢ ζητῶν παρεκβήσῃ εἰς ἄλλο βλέψας. εἰ δ' οὐδὲν ἐπιζητήσεις, στὰς ἐπὶ σαυτοῦ καὶ τῆς σαυτοῦ οὐσίας, τῷ παντὶ ὡμοιώθης καὶ οὐκ ἐνεσχέθης ἔν τινι τῶν ἀπ' αὐτοῦ. οὐδ' εἶπας οὐδὲ σὺ ‚τοσοῦτός εἰμι' ⟨ἀλλ'⟩ ἀφεὶς ⟨τὸ⟩ ‚τοσοῦτος' γέγονας πᾶς· καίτοι καὶ πρότερον ἦσθα πᾶς, ἀλλὰ καὶ ἄλλο τι προσῆν σοι μετὰ τοῦ πᾶς καὶ ἐλάττων ἐγίγνου τῇ προσθήκῃ, ὅτι μὴ ἐκ τοῦ ὄντος ἦν*

§ 3 *ἡ προσθήκη, οὐδὲν γὰρ ἐκείνῳ προσθήσεις. ὅταν οὖν τις καὶ ἐκ τοῦ μὴ ὄντος γένηται, κόρος τῇ πενίᾳ σύνοικος καὶ ἐνδεὴς πάντων. ἀφεὶς οὖν τὸ μὴ ὂν τότε πᾶς κόρος αὐτὸς*

δόναι ἐν τῷ κατὰ μικρὸν ἐπιλιπεῖν, ἀλλ' ἢ συνθεῖν δυνηθείς, μᾶλλον δὲ ἐν τῷ παντὶ γενόμενος, οὐδὲν ἔτι ζητήσεις, ἢ ἀπειπὼν παρεκβήσῃ εἰς ἄλλο καὶ πεσῇ παρὼν οὐκ ἰδὼν τῷ εἰς ἄλλο βλέπειν. ἀλλ' εἰ οὐδὲν ἔτι ζητήσεις, πῶς ποτε τοῦτο πείσῃ; ἢ ὅτι παντὶ προσῆλθες καὶ οὐκ ἔμεινας ἐν μέρει αὐτοῦ οὐδ' εἶπας οὐδὲ σύ ‚τοσοῦτός εἰμι', ἀφεὶς δὲ τοσοῦτον γέγονας πᾶς, καίτοι καὶ πρότερον ἦσθα πᾶς· ἀλλ' ὅτι καὶ ἄλλο τι προσῆν σοι μετὰ τὸ πᾶν (*τοῦ πᾶς* corr.?), *ἐλάττων ἐγίνου τῇ προσθήκῃ· οὐ γὰρ*

---

2 *τοῦ ποῦ* correxi] *τόπου* V. 3 *ἀπέστραψας* V. 6 *καταλήξεις*] *καταλλάξεις* Creuz. 7 *ἐπιλείπειν* Holst. 8 *πασῶν* Kroll] *πᾶς* V. *νοῶν* del. Kroll. 9 *οὐ* delevi, cf. Plot. 10/11 *βλέψας* Kroll] *βλέψαι* V. 11/12 *τῆς σῆς οὐσίας*, i. mg. Γ. *σαυτοῦ* V. 12 *ὡμοιώθης* correxi] *ὁμοιώθης* V. 13 *εἰμι* Kroll (cf. Plot.)] *εἰ μὴ* V. 14 *ἀλλ'* addidi. *τὸ* add. Kroll. 18 *κόρος* Kroll] *τόπος* V.

ἑαυτοῦ· ὥστε ⟨εἴ τις γέγονε πᾶς⟩, ἀπολαμβάνει αὐτὸν ἀφεὶς τὰ ταπεινώσαντα καὶ κατασμικρύναντα, καὶ μάλιστα, ὅταν ἐκεῖνα εἶναι αὐτὸν τὰ σμικρὰ τῇ φύσει καὶ οὐχ ὅστις ἐστὶν αὐτὸς τῇ ἀληθείᾳ δοξάζῃ· ἀπέστη γὰρ ἀφ' ἑαυτοῦ ἅμα καὶ § 4 *ἀπέστη τοῦ ὄντος. καὶ ἔστης ἐν αὐτῷ παρὼν παρόντι, τότε πάρει καὶ τῷ ὄντι πανταχοῦ ὄντι. ὅταν δὲ ἀφῇς αὐτόν, ἀπέστης κἀκείνου. τοιαύτην γὰρ ἀξίαν εἴληφε, παρεῖναι τῷ αὐτῷ παρόντι καὶ ἀπεῖναι τῷ αὐτοῦ ἐκστάντι. εἰ δὲ πάρεστιν μὲν ἡμῖν τὸ ὄν, ἄπεστι δὲ τὸ μὴ ὄν, μετὰ δὲ ἄλλων οὖσιν οὐ πάρεστιν, οὐκ ἦλθεν, ἵνα παρῇ, ἀλλ' ἡμεῖς ἀπήλθομεν, ὅτε οὐ πάρεστιν. καὶ τί θαυμαστόν; αὐτὸς γάρ σοι παρὼν οὐκ ἀπῇς αὐτοῦ. καὶ οὐ πάρει σαυτῷ καίπερ παρὼν καὶ αὐτὸς ὢν ὁ παρών τε καὶ ἀπών, ὅταν πρὸς ἄλλα βλέπῃς παρεὶς σαυτὸν βλέπειν. εἰ δ' οὕτως αὐτῷ παρὼν οὐ πάρει καὶ διὰ τοῦτο σαυτὸν ἀγνοεῖς καὶ πάντα μᾶλλον, οἷς πάρει, καὶ πόρρω σου ὄντα εὑρίσκεις, ἢ αὐτὸν σαυτῷ φύσει παρόντα, τί θαυμάζεις, εἰ τὸ οὐ παρὸν πόρρω σοῦ ἐστι, σοῦ πόρρω αὐτοῦ διὰ τὸ καὶ σαυτοῦ πόρρω γεγονότος; ὅσῳ*

ἐκ τοῦ ὄντος ἡ προσθήκη — οὐδὲν γὰρ ἐκείνῳ προσθήσεις — ἀλλὰ τοῦ μὴ ὄντος. γενόμενος δέ τις καὶ ἐκ τοῦ μὴ ὄντος, ἐστὶν οὐ πᾶς, ἀλλ' ὅταν τὸ μὴ ὂν ἀφῇ. αὔξεις τοίνυν σεαυτὸν ἀφεὶς τὰ ἄλλα καὶ πάρεστί σοι τὸ πᾶν ἀφέντι (ad l. 9 sqq.), *μετὰ δὲ ἄλλων ὄντι οὐ φαίνεται, οὐδ' ἦλθεν, ἵνα παρῇ, ἀλλὰ σὺ ἀπῆλθες.*

---

1 *ὥστε* spat. 15 fere litt. *ἀπολαμβάνει αὐτὸν* V, supplevi. En sorte que vous aurez l'Etre universel en écartant tout le reste: car tant qu'on est avec le reste, l'Etre ne se manifeste pas, n'accorde pas sa présence. on trouve l'Etre en écartant tout ce qui ... Bouillet praef. p. LXXXV. 4 *δοξάζει* V. *ἀπέστη* Creuz] *ἀπέστει* V. 5 *ἔστης* Kroll] *ἔστι τις* V. *ἐν αὐτῷ* V. 6 *ἀφῇς* Kroll] *ἀφεὶς* V. *αὐτὸν*] *αὑτὸν* V. 10/11 *ἀπήλθομεν* Holst.] *ἀπήλθωμεν* V. 11 *σοι* Kroll] *σu* V. 12 *σαυτῷ αὐτῷ* Creuz. 15 *οἷς* Cr.] *εἰς* V. 16 *καὶ*] *καίπερ* Kroll. *εὑρίσκῃς* Holst. 17 *σοῦ* Holst.] *τοῦ* V.

γὰρ ἑαυτῷ πρόσει καίτοι παρόντι καὶ ἀναποστάτῳ ὄντι [αὐτὸς γὰρ ὅσῳ πρόσεισι], τόσῳ κἀκείνῳ πρόσει, ὃ δὴ οὕτω σοῦ ἐστιν ἀναπόσπαστον κατ' οὐσίαν, ὡς σὺ σαυτοῦ· ὥστε καὶ πάρεστί σοι καθόλου γινώσκειν, τί τε πάρεστι τῷ ὄντι καὶ τί ἄπεστι τοῦ ὄντος παρόντος πανταχοῦ καὶ πάλιν ὄντος οὐδαμοῦ;

§ 5 τοῖς μὲν γὰρ δυναμένοις χωρεῖν εἰς τὴν αὑτῶν οὐσίαν νοερῶς καὶ τὴν αὑτῶν γινώσκειν οὐσίαν ⟨καὶ⟩ ἐν αὐτῇ τῇ γνώσει καὶ τῇ εἰδήσει τῆς γνώσεως αὑτοὺς ἀπολαμβάνειν καθ' ἑνότητα τὴν τοῦ γινώσκοντος καὶ γινωσκομένου, [καὶ] τούτοις παροῦσιν αὑτοῖς πάρεστι καὶ τὸ ὄν. ὅσοι δ' ἂν παρεξέλθωσιν ἀπὸ τοῦ εἶναι ἑαυτῶν πρὸς τὰ ἄλλα, ἀποῦσιν
§ 6 ἑαυτῶν ἄπεστι καὶ τὸ ὄν. εἰ δ' ἡμεῖς ἐπεφύκειμεν ἱδρῦσθαι ἐν τῇ αὐτῇ οὐσίᾳ καὶ πλουτεῖν ἀφ' ἑαυτῶν καὶ μὴ ἀπέρχεσθαι πρὸς ὃ μὴ ἦμεν καὶ πένεσθαι ἑαυτῶν καὶ διὰ τοῦτο πάλιν τῇ πενίᾳ συνεῖναι καίπερ παρόντος αὐτοῦ, καὶ ἀπὸ τοῦ ὄντος οὐ τόπῳ, οὐκ οὐσίᾳ κεχωρισμένοι οὐδ' ἄλλῳ τινὶ ἀποτετμημένοι τῇ πρὸς τὸ μὴ ὂν στροφῇ χωριζόμεθα, δίκην ἄρα ταύτην ἀποτίννυμεν τῇ τοῦ ὄντος ἀποστροφῇ αὑτοὺς ἀποστρεφόμενοι καὶ ἀγνοοῦντες, καὶ τῇ πάλιν αὑτῶν φιλίᾳ ἑαυτούς τε ἀπολαμβάνοντες καὶ τῷ θεῷ συναπτόμενοι. καὶ ὀρθῶς ἄρα εἴρηται, ὡς ἔν τινι φρουρᾷ ⟨ἐσμεν

---

l. 22 sqq. cf. Plat. Phaedon. p. 62 B λόγος, ὡς ἔν τινι φρουρᾷ ἐσμὲν οἱ ἄνθρωποι καὶ οὐ δεῖ δὴ ἑαυτὸν ἐκ ταύτης λύειν οὐδ' ἀποδράσκειν. Plot. IV 8,1 καὶ τὴν πρὸς τὸ σῶμα κοινωνίαν τῆς ψυχῆς μεμψάμενος ἐν δεσμῷ τε εἶναι καὶ τεθάφθαι ἐν αὐτῷ τὴν ψυχὴν λέγει καὶ τὸν ἐν ἀποῤῥήτοις λεγόμενον λόγον μέγαν εἶναι,

---

1/2 ὄντι αὐτὸς — πρόσεισι del. Holsten. 4 σοι] τι Holst. 7 αὑτῶν] αὐτῶν V. 8 καὶ inser. Kroll. 9 αὑτοὺς V. 10 καὶ incl. Kroll. 11 αὐτοῖς V. 12 ἑαυτῶν Cr.] ἑαυτοῖς V. 16 τοῦτο] τούτων V. 20 αὐτοὺς V. καὶ τῇ πάλιν αὑτῶν φιλίᾳ correxi] καὶ τῇ πάλιν ἐν τῇ αὐτῶν φιλίαν V. 22 sq. post φρουρᾷ spat. vac. 1 ³/₄ lin. (70 fere litt.) in V, supplevi ex Plat.

οἱ ἄνθρωποι καὶ δεσμοῖς κατακλεισθέντες. καὶ οὐ δεῖ ἑαυτὸν ἐκ ταύτης τῆς φρουρᾶς⟩ ἀποδιδράσκοντα λύειν ἐκ τῶν δεσμῶν πειρᾶσθαι, ὡς ἄν του πρὸς τὰ τῇδε ἐστραμμένου καὶ ἑαυτὸν θεῖον ὄντα καταλελοιπότος, ὥς φησι, φυγὰς θεόθεν καὶ ἀλήτης. ὥστε πᾶς φαῦλος βίος δουλείας πλήρης καὶ ἀσεβείας καὶ διὰ τοῦτο ἄθεός τε καὶ ἄδικος ⟨διὰ τὸ⟩ ἐν αὐτῷ πνεῦμα πλῆρες ὑπάρχον τῆς ἀσεβείας καὶ διὰ τοῦτο καὶ ἀδικίας. καὶ οὕτω πάλιν ἐν ἰδιοπραγίᾳ ὀρθῶς εἴρηται εὑρίσκεσθαι τὸ δίκαιον, ἐν δὲ ἀπονεμήσει τοῦ κατ' ἀξίαν ἑκάστῳ τῶν συζώντων εἰκόνα κεῖσθαι καὶ εἴδωλον τῆς ἀληθινῆς δικαιοσύνης.

XLI. Τὸ ἐν ἄλλῳ ἔχον τὸ εἶναι καὶ ἐφ' ἑαυτοῦ χωρι- V [XLII]
